
DÉMOSTHÈNE

HARANGUE
SUR LES PRÉVARICATIONS DE L'AMBASSADE

EXPLIQUÉE LITTÉRALEMENT
ET TRADUITE EN FRANÇAIS

PAR M. STIÉVENART
Doyen de la Faculté des lettres de Dijon



LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES





Cette harangue a été expliquée littéralement, traduite en français et annotée par M. Stiévenart, doyen de la faculté des lettres de Dijon.

DE L'IMPRIMERIE DE CRAPELET, RUE DE VAUGIRARD, N° 9.

LES

AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

avec des sommaires et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS

ET D'HELLÉNISTES

DÉMOSTHÈNE

HARANGUE SUR LES PRÉVARICATIONS DE L'AMBASSADE

L. HACHETTE ET Cie

LIBRAIRES DE L'UNIVERSITÉ ROYALE DE FRANCE

A PARIS
RUE PIERRE-SARRAZIN, N° 12
(Quartier de l'École de Médecine)

A ALGER
RUE DE LA MARINE, N° 117
(Librairie centrale de la Méditerranée)

1848

AVIS

RELATIF A LA TRADUCTION JUXTALINÉAIRE.

On a réuni par des traits les mots français qui traduisent un seul mot grec.

On a imprimé en *italiques* les mots qu'il était nécessaire d'ajouter pour rendre intelligible la traduction littérale, et qui n'avaient pas leur équivalent dans le grec.

Enfin, les mots placés entre parenthèses doivent être considérés comme une seconde explication, plus intelligible que la version littérale.

ARGUMENT ANALYTIQUE.

Le peuple athénien avait envoyé plusieurs ambassades à Philippe, roi de Macédoine, pour traiter de la paix. Au retour de la dernière, Démosthène, qui en avait fait partie, ne partageait point les pressentiments pacifiques de ses collègues. Sans faire tort à sa sagacité politique, on peut croire que la connaissance personnelle qu'il avait des séductions exercées sur eux par l'adroit conquérant entrait pour beaucoup dans les défiances trop légitimes qu'il avait alors exprimées. Quoi qu'il en soit, les événements n'avaient pas tardé à justifier ces défiances. En présence de faits aussi graves, aussi menaçants pour l'indépendance de la Grèce, la prolongation de son silence lui parut un crime; il regarda comme un impérieux devoir la révélation éclatante des prévarications qu'il se croyait en droit de reprocher à Eschine dans ces ambassades si fatales aux intérêts de la république. Lorsque celui-ci avait voulu rendre compte de sa mission, Démosthène s'était déjà disposé à l'attaquer. Il devait avoir pour coaccusateur Timarque, fils d'Arizèlos du dême de Sphettos, citoyen éloquent, revêtu plusieurs fois de hautes charges civiles et militaires, et auteur d'un décret qui condamnait à mort tout Athénien convaincu d'avoir fait passer des armes à Philippe. Eschine, qui savait qu'avec le peuple il suffit de gagner du temps, se hâta de prévenir Timarque, et l'accusa lui-même de mœurs infâmes et de prodigalité, ce qui, d'après une loi de Solon, le rendait incapable d'exercer aucune fonction, et l'écartait de la place publique et des tribunaux. On ne connaît pas au juste la date de cette accusation acharnée et virulente (1), qui se place entre la deuxième année de l'olympiade CVIII, et la deuxième de la CIX[e] (346-342 avant J.-C.). Timarque fut condamné et diffamé, non-seulement par sentence du tribunal, mais dans l'opi-

(1) « Æschines.... in oratione illa sæva criminosaque et virulenta, qua Timarchum de impudicitia graviter insigniterque accusavit, etc. » (Aulu-Gelle, XVIII, III.)

nion de tous ses concitoyens. Si l'on en croit même une tradition, ce plaidoyer d'Eschine renouvela l'effet tragique des ïambes fameux d'Archiloque : l'accusé se pendit de désespoir.

Le procès de Timarque n'avait été, de la part d'Eschine, qu'une ruse victorieuse pour affaiblir l'attaque préparée contre l'accusateur de cet Athénien. Démosthène n'en poursuivait pas moins son projet de vengeance publique et personnelle. Mais d'autres obstacles avaient concouru à retarder le procès d'Eschine : il était impossible de mettre en cause tous ses collègues d'ambassade; plusieurs étaient absents; d'autres, tels que Dercylos et Iatroclès, étaient beaucoup moins répréhensibles. D'ailleurs, la malignité publique semblait satisfaite par l'accusation qu'avait intentée Hypéride contre le député Philocrate, également méprisé de tous les partis. Eubule, dont Eschine avait été greffier, et que nous retrouvons hostile à Démosthène, tâchait d'assoupir l'affaire; et l'impression produite par tant de malheurs publics, résultat de la trahison, s'était sans doute affaiblie. Cependant Démosthène, à la fin de sa sixième *Philippique*, avait annoncé cette grande accusation; et il semble que la voix de Mirabeau n'ait été que l'écho de la sienne, lorsqu'il disait à l'assemblée nationale : « Je les connais, les conseillers perfides de ces attentats à la liberté; et je jure, sur l'honneur et la patrie, de les dénoncer un jour! (1) »

Démosthène établit lui-même le caractère de ce procès : ce n'était pas une accusation formelle de haute trahison (εἰςαγγελία); mais une poursuite en reddition de comptes (εὐθύνη). De là, en partie, les conclusions un peu vagues de l'accusateur, et une sorte d'indécision dans la peine à appliquer, bien que le mot de mort soit souvent prononcé.

Le plaidoyer de Démosthène peut avantageusement soutenir le parallèle avec ses autres discours politiques. Peut-être même est-ce de tous celui où l'orateur déploie avec le plus d'éclat cet art qui lui était propre, de triompher de l'aridité naturelle d'un sujet, et de convertir en un groupe lumineux de preuves les présomptions faibles ou

(1) Séance du 8 juillet 1789.

peu concluantes qu'il paraissait offrir. La conduite d'Eschine, durant les trois ambassades qu'il remplit auprès du roi Philippe, est tracée avec une véhémence toujours éloquente, mais qui trahit souvent la partialité de l'examen. Les imputations les plus odieuses, même les plus étrangères au sujet, y sont présentées avec un artifice et une malignité extrêmes. En général, et sauf le prestige du génie qui vivifie cette composition, une impression pénible accompagne la lecture de ce tissu d'accusations envenimées, qui ne sont interrompues que par la demande passionnée du supplice d'un rival. Mais il faut ici tenir compte de la différence des mœurs. Tout, à Athènes, favorisait la liberté des invectives politiques. Une multitude avide de scandale, l'appareil tumultueux des formes républicaines, l'exaltation d'un patriotisme ombrageux, l'ignorance de cette maxime de la civilisation moderne : *La vie privée doit être murée*, l'absence d'un frein religieux qui contînt ce penchant à médire dont les esprits les plus élevés ont quelque peine à se défendre : toutes ces causes, étrangères à nos institutions et à nos mœurs, expliquent et justifient, à quelques égards, cette chaleur de personnalité répandue dans les harangues des orateurs grecs, qui, pour blesser la délicatesse de notre goût, ne saurait nous rendre insensibles aux beautés qu'elles renferment, et dont elle-même est souvent la source.

La spoliation du roi thrace Kersobleptès, la dévastation de la Phocide, préparée, suivant Démosthène, par la folle sécurité dans laquelle les députés vendus à Philippe avaient entretenu cette malheureuse contrée, tels sont les principaux griefs développés dans cette harangue, entremêlée de conseils énergiques aux Athéniens, et qui est encore une *Philippique*. Ici, comme dans le plaidoyer pour Ctésiphon, Démosthène attaque son ennemi sur deux points différents : Eschine est vendu à la Macédoine ; Eschine, indépendamment de son *philippisme*, a trahi la cause de la démocratie. Sur la fin de la harangue, le ton si élevé de l'accusateur s'ennoblit encore. Rien ne surpasse l'éloquence du passage dans lequel il oppose aux larmes présumées de l'accusé et de ses enfants, les larmes « des enfants de tant d'alliés, de tant d'amis d'Athènes, réduits en captivité, traînant de contrée en contrée leur indigence et leur malheur, et bien autre-

ment dignes de compassion que la famille d'un père aussi criminel, que les fils d'un traître. » La péroraison est simple, mais noble et animée.

La division de tout le discours est nettement tracée par l'orateur. Mais le sujet est rempli sans cet assujettissement à un ordre symétrique, contraire à la libre unité de l'art grec : les scholies d'un manuscrit cité par Dobson en font la remarque. Si la critique moderne désire plus de méthode dans ces récriminations accumulées, la logique voudrait aussi plus de force dans quelques arguments. Schœll et Olivier ont remarqué ce désavantage (1) ; et le Scholiaste l'avait déjà expliqué par cet accord de la plupart des députés, qui privait l'accusateur des preuves juridiques au moyen desquelles il eût pu accabler son adversaire. N'oublions pas cependant que Cicéron, aux yeux de qui Démosthène lui-même sommeille quelquefois (2), loue ici la variété des tons qu'il a su prendre, et cite ce plaidoyer à côté de celui *sur la Couronne* (3). Plus de quarante écrivains de l'antiquité, parmi lesquels nous distinguons des critiques éminents et des historiens, sont indiqués, dans les notes de Taylor, de Reiske et de Schæfer, comme ayant cité, expliqué, annoté, imité cette harangue, dont il existait jadis un commentaire historique, malheureusement perdu.

Le plaidoyer qu'Eschine avait écrit pour sa défense nous a été conservé : plus régulier dans la forme, il n'est pas moins violent que l'accusation. Nous sommes confondus de l'audace avec laquelle les deux ennemis politiques se rejettent l'un à l'autre l'épithète de *complice de Philocrate :* mais l'étonnement cesse quand on pense à la légèreté insouciante des Athéniens, si oublieux du passé, et surtout à la position actuelle de Philocrate lui-même. Dénoncé par Hypéride, il avait quitté Athènes, où la mort l'attendait s'il osait y rentrer. Ces deux discours datent de la troisième année de la CIXe olympiade,

(1) Schœll, *Hist. de la Litt. grecque*, t. II, p. 239. Olivier, *Hist. de Phil.*, t. II, p. 188.

(2) Plutarque, *Vie de Cicéron*, c. XXIV.

(3) Cicéron, *Orat.*, XXX.

342 ans avant notre ère. Cette même année, Ménandre venait au monde, et Isocrate, déjà vieux, lisait aux Grecs assemblés ce *Panegyrique d'Athènes* où il les exhortait à réunir leurs forces, non contre les Macédoniens, mais contre les Perses. Plutarque doute si la cause des *Prévarications de l'Ambassade* a été plaidée en effet (1), parce qu'Eschine et Démosthène n'en font pas mention dans leurs harangues *sur la Couronne*. Mais il a pu fort bien arriver, dit Auger, qu'ils n'en aient pas parlé : l'un, parce que le jugement ne lui avait pas été favorable; l'autre, parce qu'il était peut-être resté sur son compte des soupçons peu avantageux qu'il craignait de réveiller. D'ailleurs plusieurs passages du plaidoyer d'Eschine prouvent invinciblement que le procès a eu lieu.

Le texte que nous reproduisons est presque toujours celui du Démosthène complet de Vœmel, qui fait partie de l'excellente Bibliothèque græco-latine de MM. Didot. Il a été collationné sur l'édition des *Oratores attici*, due aux soins de Baiter et de Sauppe; et rien n'a été négligé pour améliorer notre traduction.

(1) Voy. *Vie de Démosthène*, c. xv.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ

ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

ΛΟΓΟΣ.

Ὅση μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι, ἑωρακότας ἄρτι τούς, ὅτ' ἐκληροῦσθε, ἐνοχλοῦντας καὶ προσιόντας ὑμῖν. Δεήσομαι δὲ πάντων ὑμῶν, ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν, μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα ποιεῖσθαι περὶ πλείονος ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον ὃν εἰςελήλυθεν ὑμῶν ἕκαστος ὀμωμοκώς[2], ἐνθυμουμένους ὅτι ταῦτα

Vous avez sans doute presque tous reconnu, ô Athéniens, toute l'ardeur des sollicitations factieuses dont on a entouré ces débats, en voyant, il y a peu d'instants, ceux qui, pendant que le sort proclamait vos noms, vous assiégeaient de leurs importunités. Pour moi, je ne vous demanderai que ce que l'équité présente, même sans prières : ne préférez ni faveur ni rang à la justice et au serment que chacun de vous a prêté avant d'entrer ici ; considérez ces deux objets comme

DÉMOSTHÈNE.

HARANGUE

SUR

LES PRÉVARICATIONS DE L'AMBASSADE.

Οἶμαι σχεδὸν ὑμᾶς πάντας,
ὦ ἄνδρες Ἀθηναῖοι,
ᾐσθῆσθαι
ὅση μὲν σπουδὴ
καὶ παραγγελία
γέγονε
περὶ τουτονὶ τὸν ἀγῶνα,
ἑωρακότας
ἄρτι
τοὺς ἐνοχλοῦντας
καὶ προσιόντας ὑμῖν,
ὅτε ἐκληροῦσθε.
Δεήσομαι δὲ ὑμῶν πάντων,
ἅ ἐστι δίκαιον
ὑπάρχειν
καὶ τοῖς
μὴ δεηθεῖσι,
ποιεῖσθαι περὶ πλείονος
μήτε μηδεμίαν χάριν
μήτε ἄνδρα
ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον,
ὃν ὀμωμοκὼς
ἕκαστος ὑμῶν
εἰσελήλυθεν,
ἐνθυμουμένους,

Je pense *que* presque vous tous,
ô hommes Athéniens,
avoir (avez) senti
quel-grand empressement
et *quelle* sollicitation-factieuse
a eu lieu
autour de ce débat,
vous, ayant (quand vous avez) vu
tout-à-l'heure
ceux qui importunaient
et qui abordaient vous,
lorsque vous étiez tirés-au-sort.
Mais je demanderai à vous tous,
ce qu'il est juste
d'être obtenu
même de ceux
qui ne *l'*ont pas demandé,
à savoir de *ne* faire de plus de *prix*
ni aucune faveur
ni *aucun* personnage
que l'équité et le serment,
lequel ayant juré
chacun de vous
est entré *au tribunal,* [prit,
vous, dis-je, mettant-dans-votre-es-

μέν ἐστιν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως, αἱ δὲ τῶν παρακλήτων αὗται δεήσεις καὶ σπουδαὶ τῶν ἰδίων πλεονεξιῶν ἕνεκα γίγνονται, ἃς ἵνα κωλύηθ', οἱ νόμοι συνήγαγον ὑμᾶς, οὐχ ἵνα κυρίας τοῖς ἀδικοῦσι ποιῆτε.

Τοὺς μὲν οὖν ἄλλους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους, τουτονὶ δ' Αἰσχίνην πολὺ τἀναντία τούτου. Πρὶν γὰρ εἰςελθεῖν εἰς ὑμᾶς καὶ λόγον δοῦναι τῶν πεπραγμένων, τὸν μὲν ἀνῄρηκε τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων[1], τοῖς δ' ἀπειλεῖ[2] περιιών, δεινότατον πάντων ἔθος εἰς τὴν πολιτείαν εἰςάγων καὶ ἀσυμφορώτατον ὑμῖν· εἰ γὰρ ὁ πράξας τι τῶν κοινῶν καὶ διοική-

votre sauvegarde, comme celle de la cité entière, et ces actives supplications des protecteurs de l'accusé comme le soutien de quelques ambitions privées, que les lois, en vous réunissant, vous ordonnent de réprimer, loin de sanctionner leur pouvoir sur le sort des coupables.

Je vois tous ceux qui ont administré avec droiture toujours prêts à reproduire les comptes qu'ils ont rendus. Eschine agit bien différemment. Avant de venir devant vous, avant de justifier sa conduite, il a fait disparaître un des citoyens qui le poursuivaient; il va partout menaçant les autres, et introduit dans le gouvernement le plus révoltant, le plus funeste abus. Car, si l'Athénien qui a pris quelque part aux affaires publiques éloigne les accusateurs, non par son inno-

ὅτι ταῦτα μέν	que ces *choses*-ci (l'équité et le ser-
ἐστιν ὑπὲρ ὑμῶν	sont dans-l'intérêt-de vous [ment)
καὶ τῆς πόλεως ὅλης,	et de la cité entière,
αὗται δὲ αἱ δεήσεις	mais *que* ces supplications
καὶ σπουδαὶ	et empressements [cesseurs)
τῶν παρακλήτων	de ceux appelés-auprès (des inter-
γίγνονται	deviennent (ont lieu)
ἕνεκα πλεονεξιῶν τῶν ἰδίων,	en faveur d'ambitions particulières,
ἵνα κωλύητε ἅς,	afin que vous réprimiez lesquelles,
οὐχ ἵνα ποιῆτε	non afin que vous *les* fassiez
κυρίας	toutes-puissantes
τοῖς ἀδικοῦσιν,	pour les prévaricateurs,
οἱ νόμοι συνήγαγον ὑμᾶς.	les lois ont réuni vous.
Ὁρῶ τοὺς μὲν οὖν ἄλλους,	Or je vois, d'une-part, les autres,
ὅσοι προςέρχονται·	tous-ceux-qui approchent
δικαίως	avec-justice
πρὸς τὰ κοινά,	des *affaires* publiques,
προτεινομένους	proposant [te,
τὴν ἀειλογίαν,	la reddition-de-comptes-permanen-
καὶ ἂν ὦσι	même s'ils sont
δεδωκότες εὐθύνας,	ayant donné *leurs* comptes,
Αἰσχίνην δὲ τουτονὶ	*et* d'autre-part Eschine ici-présent
πολὺ τἀναντία	*faisant* des choses beaucoup oppo-
τούτου.	à cela. [sées
Πρὶν γὰρ εἰςελθεῖν	Car, avant de comparaître
εἰς ὑμᾶς,	devant vous,
καὶ δοῦναι λόγον	et de rendre compte
τῶν πεπραγμένων,	des choses faites *par lui,*
ἀνῄρηκε τὸν μὲν	il a fait-disparaître celui-ci (l'un)
τῶν ἐλθόντων	de ceux qui étaient venus (l'atta-
ἐπὶ τὰς εὐθύνας,	en reddition-de-comptes, [quaient)
ἀπειλεῖ τοῖς δὲ περιιών,	*et* il menace ceux-là allant-çà-et-là,
εἰςάγων	introduisant *ainsi*
εἰς τὴν πολιτείαν	dans le gouvernement
ἔθος	une coutume
δεινότατον πάντων	la plus révoltante de toutes
καὶ ἀσυμφορώτατον ὑμῖν·	et la plus nuisible pour vous :
εἰ γὰρ ὁ πράξας	si, en effet, celui qui a traité
καὶ διοικήσας	et qui a administré
τι τῶν κοινῶν	quelqu'une des *affaires* publiques

σας, τῷ καθ' ἑαυτὸν φόβῳ, καὶ μὴ τῷ δικαίῳ, κατασκευάσει μηδέν' εἶναι κατήγορον αὐτοῦ, παντάπασιν ἄκυροι πάντων ὑμεῖς γενήσεσθε.

Τὸ μὲν οὖν ἐξελέγξειν πολλὰ καὶ δεινὰ πεποιηκότα τουτονὶ καὶ τῆς ἐσχάτης ὄντα τιμωρίας ἄξιον, θαῤῥῶ καὶ πάνυ πιστεύω. Ὃ δέ, καίπερ ὑπειληφὼς ταῦτα, φοβοῦμαι, φράσω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι, ὅτι μοι δοκοῦσιν ἅπαντες οἱ παρ' ὑμῖν ἀγῶνες οὐχ ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν καιρῶν ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν δέδοικα, μή τινα λήθην ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμπεποιήκῃ. Ὡς δή μοι δοκεῖτ' ἂν ὅμως ἐκ τούτων καὶ γνῶναι τὰ δίκαια καὶ δικάσαι νυνί, ταῦθ' ὑμῖν λέξω· εἰ σκέψαισθε παρ'

cence, mais par la terreur qu'inspire sa personne, c'en est fait, oui, c'en est fait de votre autorité.

Convaincre cet homme de délits nombreux, de crimes énormes, le montrer digne du dernier supplice, voilà ce dont j'ai la confiance la plus entière. Toutefois, je le dirai avec franchise, cette persuasion me laisse une inquiétude : tous les procès politiques portés à votre tribunal me semblent, ô Athéniens, dépendre non moins du moment que des faits; et le temps considérable qui s'est écoulé depuis l'ambassade aura, je le crains, produit en vous l'oubli ou l'indifférence pour tant de prévarications. Il est pour vous cependant un moyen de vous éclairer, et de prononcer aujourd'hui selon la justice :

κατασκευάσει	fera-en-sorte
μηδένα εἶναι	*que* personne *n'*être (ne soit)
κατήγορον αὑτοῦ,	accusateur de lui-même,
φόβῳ	par la peur
τῷ κατὰ ἑαυτόν,	celle contre lui-même (qu'il inspire),
καὶ μὴ τῷ δικαίῳ,	et non par *son* équité,
ὑμεῖς γενήσεσθε παντάπασιν	vous deviendrez entièrement
ἄκυροι	dépourvus-d'autorité
πάντων.	sur toutes choses.
Θαῤῥῶ μὲν οὖν	Or j'ai-la-confiance
καὶ πιστεύω πάνυ	et je m'assure complétement
τὸ ἐξελέγξειν τουτονὶ	de convaincre cet *homme*-ci
πεποιηκότα πολλὰ	ayant (d'avoir) fait beaucoup *d'actes*
καὶ δεινά,	même très-coupables,
καὶ ὄντα ἄξιον	et étant (et d'être) digne
τῆς ἐσχάτης τιμωρίας.	du dernier châtiment.
Φράσω δὲ πρὸς ὑμᾶς	Mais je dirai-clairement à vous
καὶ οὐκ ἀποκρύψομαι·	et je ne cacherai point
ὃ φοβοῦμαι,	*ce* que je crains,
καίπερ ὑπειληφὼς	quoique croyant
ταῦτα,	cela (que je convaincrai Eschine),
ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι,	*c'est* que, ô hommes Athéniens,
ἅπαντες ἀγῶνες	tous les procès-politiques
οἱ παρὰ ὑμῖν	ceux *intentés* chez vous
δοκοῦσί μοι	semblent à moi
εἶναι τῶν καιρῶν	être (dépendre) des circonstances
οὐχ ἧττον ἢ τῶν πραγμάτων,	non moins que des faits,
καὶ δέδοικα μὴ τὸ	et je crains que ceci (cette circon- [stance)
πολὺν χρόνον γεγενῆσθαι	*que* beaucoup de temps s'être écoulé
μετὰ τὴν πρεσβείαν	après (depuis) l'ambassade
ἐμπεποιήκῃ ὑμῖν	*n'*ait produit en vous
τινα λήθην	quelque oubli
ἢ συνήθειαν	ou habitude-indifférente
τῶν ἀδικημάτων.	des prévarications.
Λέξω δὴ ὑμῖν ταῦτα,	Je dirai certes à vous ceci,
ὡς	comment (par quel moyen)
δοκεῖτέ μοι ὅμως	vous semblez à moi cependant
καὶ γνῶναι ἂν τὰ δίκαια	et pouvoir décider des choses justes
ἐκ τούτων,	sur ces *matières*,
καὶ δικάσαι νυνί·	et juger maintenant :

ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικασταί, καὶ λογίσαισθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. Πρῶτον μὲν τοίνυν, ὧν ἀπήγγειλε[1]· δεύτερον δέ, ὧν ἔπεισε· τρίτον δέ, ὧν προσετάξατ' αὐτῷ· μετὰ ταῦτα, τῶν χρόνων· ἐφ' ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως, ἢ μή, πάντα ταῦτα πέπρακται. Τί δή ποτε τούτων; ὅτι ἐκ μὲν τῶν ἀπαγγελιῶν τὸ βουλεύσασθαι περὶ τῶν πραγμάτων ὑμῖν ἐστίν[2]. Ἂν μὲν οὖν ὦσιν ἀληθεῖς, τὰ δέοντ' ἔγνωτε· ἂν δὲ μὴ τοιαῦται, τἀναντία. Τὰς δὲ συμβουλίας πιστοτέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν πρέσβεων· ὡς γὰρ εἰδότων περὶ ὧν ἐξεπέμφθησαν, ἀκούετε. Οὐδὲν οὖν ἐξελέγχεσθαι δίκαιός ἐστιν

ce serait d'examiner en vous-mêmes, ô juges, et d'énumérer les articles sur lesquels la république doit demander compte à son ambassadeur : premièrement, les rapports qu'il a faits; ensuite, les conseils qu'il a donnés; puis, les ordres qu'il a reçus; en quatrième lieu, l'emploi de son temps : après tout et sur tout, son désintéressement ou sa vénalité. Pourquoi cet examen? le voici. Le rapport des députés forme la base de vos délibérations : vous prenez un bon parti s'il est fidèle, un mauvais s'il est faux. Pour les conseils, vous donnez plus de créance à ceux d'un ambassadeur; car vous l'écoutez comme un homme bien instruit de ce qui fut l'objet de sa mission. Votre mandataire ne doit donc pas être convaincu de vous avoir offert

εἰ σκέψαισθε	*ce serait* si vous considériez
παρὰ ὑμῖν αὐτοῖς,	en vous-mêmes,
ὦ ἄνδρες δικασταί,	ô hommes juges,
καὶ λογίσαισθε	et *si* vous énumériez
τίνων	de quelles choses
προςήκει τῇ πόλει	il appartient à la cité
λαβεῖν λόγον	de recevoir compte
παρὰ πρεσβευτοῦ.	de *son* ambassadeur.
Πρῶτον μὲν τοίνυν,	Or, *c'est*, en-premier-lieu,
ὧν ἀπήγγειλε·	*des choses* qu'il a rapportées (de ses
δεύτερον δέ,	secondement, [rapports);
ὧν ἔπεισε·	*des choses* qu'il a conseillées;
τρίτον δέ,	troisièmement,
ὧν προςετάξατε αὐτῷ·	*des choses* que vous ordonnâtes à lui;
μετὰ ταῦτα τῶν χρόνων·	après cela, *de l'emploi* des moments;
ἐπὶ ἅπασι δὲ τούτοις,	et, par-dessus tout cela,
εἰ πάντα ταῦτα πέπρακται	si toutes ces choses ont été faites
ἀδωροδοκήτως,	sans-acceptation-de-présents,
ἢ μή.	ou non.
Τί δή ποτε τούτων;	Pourquoi donc enfin, de *tout* cela?
ὅτι μὲν τὸ βουλεύσασθαι	parce que l'*action de* délibérer
περὶ τῶν πραγμάτων	sur les affaires
ἐστὶν ὑμῖν	est *possible* à vous
ἐκ τῶν ἀπαγγελιῶν.	au moyen des rapports.
Ἂν μὲν οὖν ὦσιν ἀληθεῖς,	Si donc ils sont véritables,
ἔγνωτε	vous avez décidé
τὰ δέοντα·	les *résolutions* convenables;
ἂν δὲ μὴ τοιαῦται,	mais s'ils ne *sont* pas tels,
τὰ ἐναντία.	des *résolutions* contraires.
Ὑπολαμβάνετε δὲ	Vous croyez, d'autre part,
συμβουλίας	les conseils
τὰς τῶν πρέσβεων	ceux des ambassadeurs
εἶναι πιστοτέρας·	être plus-dignes-de-foi :
ἀκούετε γὰρ	car vous *les* écoutez
ὡς εἰδότων	comme *émanés* de *gens* qui ont vu
περὶ ὧν	*les choses* au sujet desquelles
ἐξεπέμφθησαν.	ils furent envoyés.
Ὁ πρεσβευτής ἐστιν οὖν	Le député est donc
δίκαιος	dans-la-juste-condition
ἐξελέγχεσθαι	d'être convaincu

ὁ πρεσβευτὴς φαῦλον οὐδ' ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. Καὶ μὴν περὶ ὧν γε προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι, καὶ διαῤῥήδην ἐψηφίσασθε ποιῆσαι, προσήκει διῳκηκέναι. Εἶεν· τῶν δὲ δὴ χρόνων διὰ τί; ὅτι πολλάκις, ὦ ἄνδρες Ἀθηναῖοι, συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίγνεσθαι· ὃν ἐάν τις ἑκὼν καθυφῇ τοῖς ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ, πάλιν οἷός τ' ἔσται σῶσαι. Ἀλλὰ μὴν ὑπέρ γε τοῦ προῖκα, ἢ μή, τὸ μὲν ἐκ τούτων λαμβάνειν, ἐξ ὧν ἡ πόλις βλάπτεται, πάντες οἶδ' ὅτι φήσαιτ' ἂν εἶναι δεινὸν καὶ πολλῆς ὀργῆς ἄξιον. Ὁ μέντοι τὸν νόμον τιθεὶς οὐ διώρισε τοῦτο, ἀλλ' ἁπλῶς εἶπε, μηδαμῶς δῶρα λαμβάνειν, ἡγούμενος, ὡς ἐμοὶ

un seul conseil ou sot ou pernicieux. Quant aux ordres qu'il a reçus de vous, soit pour parler, soit pour agir, quant aux instructions précises de votre décret, il faut qu'il les ait remplis. Bien : mais pourquoi demander compte du temps? parce que très-souvent, ô Athéniens, il n'est, pour le succès des grandes affaires, qu'un très-court moment : si on le cède, si on le vend à l'ennemi, quoi qu'on fasse, il est perdu sans retour. Sur la question du désintéressement, sans doute vous diriez tous que recevoir de l'or pour nuire à la patrie est un forfait qui mérite toute votre colère. Le législateur toutefois, sans spécifier cette circonstance, défend, en général, d'accepter un seul présent; persuadé, ce me semble, que quiconque a une fois

συμβεβουλευκὼς	*n'*ayant (de n'avoir) conseillé
οὐδὲν φαῦλον	rien de sot
οὐδὲ ἀσύμφορον ὑμῖν.	ni de nuisible à vous.
Καὶ μὴν προςήκει	D'ailleurs il *lui* appartient
διῳκηκέναι	d'avoir rempli-sa-mission [tes
περὶ ὧν γε προςετάξατε	sur les *choses* que vous *lui* enjoignî-
εἰπεῖν	de dire
ἢ πρᾶξαι,	ou de traiter,
καὶ ἐψηφίσασθε	et *que* vous ordonnâtes-par-décret
διαῤῥήδην ποιῆσαι.	explicitement de faire.
Εἶεν· διὰ τί δὲ δὴ	Soit : mais pourquoi donc
τῶν χρόνων;	*recevoir des comptes* des moments?
ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι,	parce que, ô hommes Athéniens,
συμβαίνει πολλάκις	il arrive souvent
καιρὸν πραγμάτων	*que* l'occasion d'affaires
πολλῶν καὶ μεγάλων	nombreuses et importantes
γίγνεσθαι ἐν χρόνῳ βραχεῖ·	être (consiste) en un temps court;
ὃν ἐάν τις	lequel si quelqu'un
ἑκὼν	*le* voulant-bien (volontairement)
καθυφῇ καὶ προδῷ	cède-frauduleusement et livre
τοῖς ἐναντίοις,	aux ennemis,
ἔσται οἷός τε	il *ne* sera *pas* capable
σῶσαι πάλιν,	de *le* recouvrer de nouveau,
οὐδὲ ἂν ποιῇ	pas même s'il faisait
ὁτιοῦν.	quoi-que-ce-soit.
Ἀλλὰ μὴν ὑπέρ γε	D'autre part, sur *la question*
τοῦ προῖκα,	du gratis (du désintéressement),
ἢ μή,	ou non,
οἶδα ὅτι πάντες φήσαιτε ἂν	je sais que tous vous déclareriez
τὸ μὲν λαμβάνειν	*que l'action de* recevoir *des présents*
ἐκ τούτων, ἐξ ὧν	par-suite de ces *faits,* par lesquels
ἡ πόλις βλάπτεται,	la cité éprouve-un-dommage,
εἶναι δεινὸν	être (est) très-coupable
καὶ ἄξιον πολλῆς ὀργῆς.	et digne d'un grave ressentiment.
Ὁ μέντοι τιθεὶς τὸν νόμον	Cependant celui qui a porté la loi
οὐ διώρισε τοῦτο,	ne spécifia point cela,
ἀλλὰ εἶπεν ἁπλῶς,	mais dit en-termes-généraux,
λαμβάνειν μηδαμῶς δῶρα,	de ne recevoir nullement des dons,
ἡγούμενος, ὡς δοκεῖ ἐμοί,	pensant, comme il semble à moi,
τὸν λαβόντα ἅπαξ	*que* celui qui a reçu une fois

δοκεῖ. τὸν ἅπαξ λαβόντα καὶ διαφθαρένθ' ὑπὸ χρημάτων οὐδὲ κριτὴν ἔτι τῶν συμφερόντων ἀσφαλῆ μένειν τῇ πόλει.

Ἂν μὲν τοίνυν ἐξελέγξω καὶ δείξω σαφῶς Αἰσχίνην τουτονὶ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα, καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ πάντα τἀναντία τῶν συμφερόντων ὑμῖν συμβεβουλευκότα, καὶ μηδὲν ὧν προςετάξατ' ἐν τῇ πρεσβείᾳ πεποιηκότα, καὶ ἀνηλωκότα τοὺς χρόνους ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμάτων καιροὶ προεῖνται τῇ πόλει, καὶ πάντων τούτων δῶρα καὶ μισθοὺς εἰληφότα μετὰ Φιλοκράτους· καταψηφίσασθ' αὐτοῦ, καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λάβετε· ἂν δὲ μὴ δείξω ταῦτα, ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τοῦτον δ' ἄφετε.

Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς τούτοις ἕτερα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν οὐκ ἔσθ' ὅςτις ἂν οὐκ εἰκότως μισήσειεν αὐτόν, βούλομαι πρὸ πάντων ὧν μέλλω λέγειν, μνημονεύον-

tendu la main et s'est laissé corrompre, ne pourra plus juger avec droiture des intérêts de l'État.

Si donc, par des preuves éclatantes, je convaincs Eschine d'avoir menti dans tout son rapport, et empêché le peuple d'apprendre de moi la vérité; de vous avoir conseillés, sur tous les points, contre vos intérêts; de n'avoir exécuté aucun de vos ordres dans son ambassade; d'avoir consumé un temps précieux, pendant lequel la République a perdu de nombreuses et importantes occasions; enfin, d'avoir partagé avec Philocrate le prix et le salaire de toutes ces perfidies, condamnez-le, faites justice du prévaricateur. Mais, si je ne prouve pas ce que j'avance, tout ce que j'avance, regardez-moi comme un imposteur, et acquittez cet homme.

Quoique j'aie à vous présenter encore, ô Athéniens, beaucoup d'autres graves inculpations capables d'attirer sur Eschine la haine de chaque citoyen, je veux, avant tout, rappeler ce que la plupart

καὶ διαφθαρέντα	et qui a été corrompu
ὑπὸ χρημάτων	par les richesses
οὐδὲ μένειν ἔτι	ne plus rester (cesse d'être)
κριτὴν ἀσφαλῆ	juge infaillible
τῶν συμφερόντων τῇ πόλει.	des choses qui importent à la cité.
Ἂν μὲν τοίνυν ἐξελέγξω	Si donc je convaincs
καὶ δείξω σαφῶς	et *si* je montre clairement
Αἰσχίνην τουτονὶ	Eschine ici-présent
καὶ ἀπηγγελκότα μηδὲν ἀληθές,	et *n'*ayant rapporté rien de vrai,
καὶ κεκωλυκότα τὸν δῆμον	et ayant empêché le peuple
ἀκοῦσαι τὰ ἀληθῆ ἐμοῦ,	d'entendre la vérité de moi,
καὶ συμβεβουλευκότα	et ayant conseillé
πάντα τὰ ἐναντία	toutes choses contraires
τῶν συμφερόντων ὑμῖν,	à celles qui importaient à vous,
καὶ πεποιηκότα	et *n'*ayant exécuté
ἐν τῇ πρεσβείᾳ	dans l'ambassade
μηδὲν	aucune *des choses*
ὧν προςετάξατε,	que vous ordonnâtes,
καὶ ἀνηλωκότα τοὺς χρόνους,	et ayant dissipé les moments,
ἐν οἷς καιροὶ	dans lesquels les occasions
πραγμάτων πολλῶν καὶ μεγάλων	d'affaires nombreuses et grandes
προεῖνται τῇ πόλει,	ont été perdues pour la cité,
καὶ εἰληφότα μετὰ Φιλοκράτους	et ayant reçu avec Philocrate
δῶρα καὶ μισθοὺς	dons et salaires
πάντων τούτων·	de toutes ces *prévarications*,
καταψηφίσασθε αὐτοῦ,	condamnez-le,
καὶ λάβετε δίκην ἀξίαν	et prenez vengeance proportionnée
τῶν ἀδικημάτων·	aux iniquités :
ἂν δὲ μὴ δείξω ταῦτα,	si au-contraire je ne montre pas cela,
ἢ μὴ πάντα,	ou *même* pas tout *cela*,
ἡγεῖσθε μὲν ἐμὲ φαῦλον,	considérez-moi *comme un* méchant,
ἄφετε δὲ τοῦτον.	et acquittez cet *homme*.
Ἔχων δὲ ἔτι πρὸς τούτοις	Or, ayant encore, outre cela,
κατηγορεῖν ἕτερα	à dénoncer d'autres *crimes*
πολλὰ καὶ δεινά,	nombreux et graves,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐξ ὧν	par l'effet desquels *crimes*
οὐκ ἔστιν ὅςτις	il n'est *personne* qui
οὐκ ἂν μισήσειεν αὐτὸν εἰκότως,	ne détesterait lui avec-raison,
βούλομαι πρὸ πάντων	je veux, avant tout,

τας ὑμῶν οἶδ' ὅτι τοὺς πολλοὺς ὑπομνῆσαι[1], εἰς τίνα τάξιν ἑαυτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν ᾤετο δεῖν, ἵν' εἰδῆθ' ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ μάλιστ' ἐξελεγχθήσεται δῶρα ἔχων.

Ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησι, καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων, καί, ἔχων Ἴσχανδρον, τὸν Νεοπτολέμου δευτεραγωνιστήν[2], προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς πανταχοῖ πρέσβεις πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου, καὶ ἀπαγγέλλων,

d'entre vous n'auront d'ailleurs point oublié, quel système politique il embrassa d'abord, quels discours il croyait devoir tenir au peuple contre Philippe : vous verrez surtout dans ses premiers actes, dans son premier langage, les preuves de sa corruption.

C'est lui qui, avant tous les Athéniens, comme il le disait alors à la tribune, s'aperçut que Philippe dressait des piéges aux Hellènes et séduisait quelques chefs arcadiens; c'est lui qui, secondé par Ischandre, acteur secondaire sous Néoptolème, instruisit là-dessus le Conseil, instruisit le peuple, et vous persuada d'envoyer partout des députés, pour convoquer ici un congrès chargé de traiter la question de la guerre contre Philippe; c'est lui qui, plus tard, à son retour

ὑπομνῆσαι τοὺς πολλοὺς	rappeler au-plus-grand-nombre
ὑμῶν,	d'entre vous,
μνημονεύοντας,	*quoique* se souvenant,
οἶδα ὅτι,	je sais qu'*il en est ainsi,*
ὧν μέλλω λέγειν,	*de ce* que je vais dire,
εἰς τίνα τάξιν	à quel rang
Αἰσχίνης ἔταξεν ἑαυτὸν	Eschine *se* plaça lui-même
τὸ πρῶτον ἐν τῇ πολιτείᾳ,	d'abord dans la politique,
καὶ τίνας λόγους ᾤετο	et quels discours il croyait
δεῖν δημηγορεῖν	falloir prononcer-devant-le-peuple
κατὰ τοῦ Φιλίππου,	contre Philippe,
ἵνα εἰδῆτε	afin que vous voyiez
ὅτι ἐξελεγχθήσεται	qu'il sera convaincu
ἔχων δῶρα	ayant (d'avoir) *reçu* des présents
μάλιστα τοῖς πεπραγμένοις	principalement par les choses faites
καὶ δεδημηγορημένοις	et prononcées-publiquement
ὑπὸ ἑαυτοῦ ἐν ἀρχῇ.	par lui-même dans le principe.
Οὗτος τοίνυν ἐστὶν	Cet *homme* donc est
ὁ πρῶτος Ἀθηναίων,	le premier des Athéniens,
ὡς ἔφη τότε δημηγορῶν,	comme il *le* dit alors en haranguant,
αἰσθόμενος	s'étant (qui se soit) aperçu
Φίλιππον	de Philippe
ἐπιβουλεύοντα τοῖς Ἕλλησι,	tendant-des-embûches aux Hellènes,
καὶ διαφθείροντά τινας	et corrompant quelques-uns
τῶν προεστηκότων	de ceux placés-à-la-tête *des affaires*
ἐν Ἀρκαδίᾳ,	en Arcadie,
καί, ἔχων Ἴσχανδρον,	et *qui*, ayant *avec lui* Ischandre,
τὸν δευτεραγωνιστὴν	le chargé-des-seconds-rôles
Νεοπτολέμου,	de (sous) *l'acteur* Néoptolème,
προσιὼν μὲν	s'étant présenté d'une part
τῇ βουλῇ,	au Conseil,
προσιὼν δὲ	s'étant présenté d'autre-part
τῷ δήμῳ	au peuple
περὶ τούτων,	*pour parler* sur ces choses,
καὶ πείσας ὑμᾶς	et ayant persuadé à vous
πέμψαι πανταχοῖ πρέσβεις	d'envoyer partout des députés
τοὺς συνάξοντας δεῦρο	devant réunir (chargés de réunir) ici
τοὺς βουλευσομένους	ceux qui devaient délibérer
περὶ πολέμου τοῦ πρὸς Φίλιππον,	sur la guerre *à faire* à Philippe.
καί, ἥκων μετὰ ταῦτα	et *qui*, revenant après cela

μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας, τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους, οὓς ἐν τοῖς Μυρίοις ἐν Μεγάλῃ πόλει, πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγοντα[1], ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι, καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦσι μόνον πατρίδας οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου. Ἐπειδὴ τοίνυν, ταῦτα πολιτευομένου τούτου τότε καὶ τοῦτο τὸ δεῖγμ' ἐξενηνοχότος περὶ αὑτοῦ, τοὺς περὶ τῆς εἰρήνης πρέσβεις πέμπειν ὡς Φίλιππον ἐπείσθηθ' ὑπ' Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος[2] καὶ τῶν ἄλλων τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ' ὁτιοῦν ὑγιές· γίγνεται τῶν πρέσβεων τούτων εἷς καὶ οὗτος, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς

d'Arcadie, vous rapporta ces longues et magnifiques harangues qu'il disait avoir débitées pour vous à Mégalopelis, devant les Dix-Mille, contre Hiéronyme, orateur dévoué à Philippe; c'est lui qui étalait dans toute son énormité l'attentat commis et contre leurs patries et contre la Grèce entière, par les âmes vénales qui recevaient l'or de Philippe. Telle fut d'abord sa conduite politique, tel il se montrait à son début. Aussi, lorsque Aristodème, Néoptolème, Ctésiphon, et d'autres qui n'avaient apporté de Macédoine que des paroles trompeuses, vous eurent persuadé d'envoyer au prince des députés pour négocier la paix, vous leur adjoignîtes Eschine, non comme capable de vous livrer, non comme ayant foi en Philippe, mais pour avoir

ἐξ Ἀρκαδίας,	d'Arcadie,
ἀπαγγέλλων	rapportant
ἐκείνους λόγους	ces-fameuses harangues
τοὺς καλοὺς καὶ μακρούς,	belles et longues,
οὓς ἔφη	lesquelles il dit
δεδημηγορηκέναι	avoir-publiquement-prononcées
ὑπὲρ ὑμῶν	pour vous
ἐν τοῖς Μυρίοις	dans *l'assemblée des* Dix-Mille
ἐν Μεγάλῃ πόλει,	à Mégalopolis,
πρὸς Ἱερώνυμον	contre Hiéronyme
τὸν λέγοντα ὑπὲρ Φιλίππου,	qui parlait pour Philippe,
καὶ διεξιὼν	et exposant-de-point-en-point
ἡλίκα	combien
οἱ δωροδοκοῦντες	ceux qui accueillent-les-présents
καὶ λαμβάνοντες χρήματα	et qui reçoivent des richesses
παρὰ Φιλίππου	de Philippe
ἀδικοῦσι τὴν Ἑλλάδα πᾶσαν,	nuisent à la Grèce entière,
οὐχὶ μόνον	*et* non *pas* seulement
πατρίδας τὰς ἰδίας.	à *leurs* patries particulières.
Ἐπειδὴ τοίνυν,	Après que donc,
τούτου	cet *homme*
πολιτευομένου	faisant-des-actes-politiques
ταῦτα τότε, καὶ ἐξενηνοχότος	ceux-là alors, et ayant exposé
τοῦτο τὸ δεῖγμα περὶ αὑτοῦ,	cet échantillon concernant lui-même,
ἐπείσθητε	vous fûtes persuadés
πέμπειν ὡς Φίλιππον	d'envoyer vers Philippe
πρέσβεις τοὺς περὶ τῆς εἰρήνης	des députés au sujet de la paix,
ὑπὸ Ἀριστοδήμου	*persuadés* par Aristodème
καὶ Νεοπτολέμου	et Néoptolème
καὶ Κτησιφῶντος καὶ τῶν ἄλλων	et Ctésiphon et les autres
τῶν ἀπαγγελλόντων	qui *ne* rapportaient
ἐκεῖθεν	de là (de Macédoine)
οὐδὲ ὁτιοῦν ὑγιές·	pas même quoi-que-ce-soit de bon;
καὶ οὗτος γίγνεται	celui-ci aussi devient (devint)
εἷς τούτων τῶν πρέσβεων,	un de ces *nouveaux* députés,
οὐχ ὡς	non comme *étant un*
τῶν ἀποδωσομένων	de ceux qui livreraient
τὰ ὑμέτερα,	vos *possessions,*
οὐδὲ ὡς	ni comme *étant un*
τῶν πεπιστευκότων	de ceux qui s'étaient confiés

τῶν πεπιστευκότων Φιλίππῳ, ἀλλ' ὡς τῶν φυλαξόντων τοὺς ἄλλους· διὰ γὰρ τοὺς προειρημένους λόγους καὶ τὴν πρὸς Φίλιππον ἀπέχθειαν, ταύτην εἰκότως περὶ αὐτοῦ πάντες εἴχετε τὴν δόξαν. Προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα, συνετάττετο κοινῇ πρεσβεύειν, καὶ ὅπως τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξομεν ἀμφότεροι, τὸν Φιλοκράτην, πολλὰ παρεκελεύσατο. Καὶ μέχρι τοῦ δεῦρ' ἐπανελθεῖν ἀπὸ τῆς πρώτης πρεσβείας, ἐμὲ γοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ἐλάνθανεν.

Χωρὶς γὰρ τῶν ἄλλων ὧν, ὅπερ εἶπον, εἰρήκει πρότερον, ἀναστὰς τῇ προτέρᾳ τῶν ἐκκλησιῶν, ἐν αἷς περὶ τῆς εἰρήνης ἐβουλεύεσθε, ἤρξατ' ἀρχήν, ἣν ἐγὼ καὶ τοῖς ῥήμασιν οἶμαι τοῖς αὐτοῖς οἷςπερ οὗτος εἶπεν ἐν ὑμῖν, ἀπομνημονεύσειν· « Εἰ πάνυ

l'œil sur ses collègues : les discours qu'il avait tenus, sa haine contre le prince, devaient vous donner de lui cette opinion. Il vint donc me proposer de nous liguer dans l'ambassade, il m'exhorta vivement à surveiller de concert le misérable, le déhonté Philocrate. Enfin, jusqu'à notre retour de la première mission, ô Athéniens, j'ignorais, moi, sa trahison et sa vénalité.

En effet, outre ses précédents discours, que je viens de rappeler, il se leva dans la première des deux assemblées où vous agitiez la question de la paix ; et voici son exorde, dont je crois pouvoir citer les propres termes : « Lors même que Philocrate, ô Athéniens, aurait

Φιλίππῳ,	à Philippe,
ἀλλὰ ὡς	mais comme *étant un*
τῶν φυλαξόντων τοὺς ἄλλους·	de ceux qui surveilleraient les autres:
διὰ γὰρ λόγους	car, par l'effet des harangues
τοὺς προειρημένους	dites-précédemment
καὶ ἀπέχθειαν	et de la haine
τὴν	celle *qu'il témoignait*
πρὸς Φίλιππον,	contre Philippe,
πάντες εἴχετε εἰκότως	tous vous aviez avec-vraisemblance
ταύτην τὴν δόξαν περὶ αὐτοῦ.	cette opinion concernant lui.
Προσελθὼν τοίνυν ἐμοὶ	S'étant donc approché de moi
μετὰ ταῦτα, συνετάττετο	après cela, il se rangeait-avec *moi*
πρεσβεύειν	pour s'acquitter-de-l'ambassade
κοινῇ,	dans-un-même-esprit,
καὶ παρεκελεύσατο πολλὰ	et il *m'*exhorta beaucoup
ὅπως ἀμφότεροι	afin que l'un-et-l'autre
φυλάξομεν τὸν Φιλοκράτην,	nous surveillassions Philocrate,
τὸν μιαρὸν καὶ ἀναιδῆ.	l'*homme* souillé et déhonté.
Καὶ μέχρι τοῦ ἐπανελθεῖν	Et jusqu'au revenir (jusqu'au retour)
δεῦρο	ici
ἀπὸ τῆς πρώτης πρεσβείας,	de *sa* première ambassade,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐλάνθανεν	il se cachait (était inconnu)
ἐμὲ γοῦν	de moi du-moins
διεφθαρμένος	*comme* corrompu
καὶ πεπρακὼς ἑαυτόν.	et ayant vendu soi-même.
Χωρὶς γὰρ	Indépendamment, en effet,
τῶν ἄλλων,	des autres *discours*,
ὧν εἰρήκει πρότερον,	qu'il avait prononcés auparavant,
ὅπερ εἶπον,	ce que (comme) j'ai dit,
ἀναστὰς	*Eschine* s'étant levé
τῇ προτέρᾳ τῶν ἐκκλησιῶν	à la première-des-deux assemblées
ἐν αἷς ἐβουλεύεσθε	dans lesquelles vous délibériez
περὶ τῆς εἰρήνης,	sur la paix, [buta par un exorde),
ἤρξατο ἀρχήν,	commença un commencement (dé-
ἣν ἐγὼ οἶμαι	que je crois
ἀπομνημονεύσειν	pouvoir rappeler
καὶ τοῖς ῥήμασι τοῖς αὐτοῖς	même avec les termes les mêmes
οἷσπερ οὗτος	par lesquels cet *homme*
εἶπεν ἐν ὑμῖν	s'exprima devant vous :

πολύν, ἔφη, χρόνον ἐσκόπει Φιλοκράτης, ὦ ἄνδρες Ἀθηναῖοι, πῶς ἂν ἄριστ' ἐναντιωθείη τῇ εἰρήνῃ, οὐκ ἂν αὐτὸν ἄμεινον εὑρεῖν οἶμαι, ἢ τοιαῦτα γράφοντα. Ἐγὼ δὲ ταύτην μὲν τὴν εἰρήνην, ἕως ἂν εἷς Ἀθηναίων λείπηται, οὐδέποτ' ἂν συμβουλεύσαιμι ποιήσασθαι τῇ πόλει· εἰρήνην μέντοι φημὶ δεῖν ποιεῖσθαι.» Καὶ τοιούτους τινὰς εἶπε βραχεῖς καὶ μετρίους λόγους. Ὁ δὲ ταῦτ' εἰπὼν τῇ προτεραίᾳ, πάντων ἀκουόντων ὑμῶν, εἰς τὴν ὑστεραίαν, ἐν ᾗ τὴν εἰρήνην ἔδει κυροῦσθαι, ἐμοῦ τῷ τῶν συμμάχων συνηγοροῦντος δόγματι[1], καὶ τὴν εἰρήνην, ὅπως ἴση καὶ δικαία γένηται, πράττοντος, καὶ ὑμῶν βουλομένων ταῦτα, καὶ οὐδὲ φωνὴν ἀκούειν ἐθελόντων τοῦ καταπτύστου Φιλοκράτους, ἀναστὰς ἐδημηγόρει καὶ συνηγόρει ἐκείνῳ πολλῶν ἀξίους, ὦ Ζεῦ

longtemps rêvé aux moyens d'entraver la paix, il n'en aurait pas trouvé, je pense, de meilleur que sa motion. Pour moi, tant qu'il restera un Athénien, je ne conseillerai jamais la paix à ce prix : toutefois, je dis qu'il faut faire la paix. » Tel fut son langage, aussi précis que modéré. Et celui qui avait ainsi parlé la veille en présence de vous tous, le lendemain, jour où il s'agissait de confirmer la paix, tandis que j'appuyais la décision des alliés, et travaillais à établir une paix équitable et égale pour toutes les parties; tandis qu'animés du même esprit, vous refusiez d'entendre le méprisable Philocrate, celui-là, dis-je, se lève, soutient, à la face du peuple, l'opinion de ce député, et, dans un discours qui mériterait mille morts, il ose

« Εἰ Φιλοκράτης, ἔφη,	« Si Philocrate, dit-il,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐσκόπει	examinait
πάνυ πολὺν χρόνον	*depuis* tout-à-fait un long temps
πῶς ἂν	par-quel-moyen
ἐναντιωθείη ἄριστα τῇ εἰρήνῃ,	il s'opposerait le mieux à la paix,
οἶμαι αὐτὸν	je pense lui
οὐκ ἂν εὑρεῖν ἄμεινον,	n'avoir pu trouver mieux,
ἢ γράφοντα	qu'en proposant-par-écrit
τοιαῦτα.	de telles *résolutions*.
Ἐγὼ δὲ οὐδέποτε	Pour moi, jamais
συμβουλεύσαιμι ἂν τῇ πόλει	je n'aurais conseillé à la République
ποιήσασθαι	de faire
ταύτην μὲν τὴν εἰρήνην,	cette paix-là (à cette condition),
ἕως ἂν εἷς Ἀθηναίων λείπηται·	tant qu'un des Athéniens restera;
φημὶ μέντοι	j'affirme néanmoins
δεῖν ποιεῖσθαι εἰρήνην. »	falloir (qu'il faut) faire la paix. »
Καὶ εἶπε	Et il dit
τινὰς λόγους τοιούτους	quelques propos semblables
βραχεῖς καὶ μετρίους.	courts et modérés.
Ὁ δὲ εἰπὼν ταῦτα	Mais l'*homme* qui avait dit cela
τῇ προτεραίᾳ,	le premier *jour,*
ὑμῶν πάντων ἀκουόντων,	vous tous *l'*écoutant, [dant)
ἐμοῦ συνηγοροῦντος	moi parlant-pour-soutenir (défen-
δόγματι τῷ τῶν συμμάχων,	la décision des alliés,
καὶ πράττοντος τὴν εἰρήνην,	et traitant de la paix,
ὅπως γένηται	de manière qu'elle devînt
ἴση καὶ δικαία,	égale *pour tous* et équitable,
εἰς τὴν ὑστεραίαν,	*moi parlant, dis-je,* le lendemain,
ἐν ᾗ ἔδει	*jour* dans lequel il fallait
τὴν εἰρήνην κυροῦσθαι,	la paix être confirmée, [liez)
καὶ ὑμῶν βουλομένων	et vous voulant (lorsque vous vou-
ταῦτα,	ces choses *que je proposais*,
καὶ οὐδὲ ἐθελόντων ἀκούειν	et ne voulant pas même entendre
φωνὴν Φιλοκράτους	la voix de Philocrate
τοῦ καταπτύστου,	le conspué,
ἀναστὰς	*Eschine* s'étant levé
ἐδημηγόρει	parla-au-peuple
καὶ συνηγόρει ἐκείνῳ	et prononça-d'accord-avec celui-ci
λόγους	des discours

καὶ πάντες θεοί, θανάτων λόγους· ὡς οὔτε τῶν προγόνων ὑμᾶς μεμνῆσθαι δέοι, οὔτε τῶν τὰ τρόπαια καὶ τὰς ναυμαχίας λεγόντων ἀνέχεσθαι· νόμον τε θήσειν καὶ γράψειν, μηδενὶ τῶν Ἑλλήνων ὑμᾶς βοηθεῖν, ὃς ἂν μὴ πρότερος βεβοηθηκὼς ὑμῖν ᾖ. Καὶ ταῦθ' ὁ σχέτλιος καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν, ἐφεστηκότων ἔτι τῶν πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων μετεπέμψασθε, ὑπὸ τούτου τότε πεισθέντες, ὅτ' οὔπω πεπρακὼς ἑαυτὸν ἦν.

Ὃν μὲν οὖν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, χειροτονησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν, τούς τε χρόνους κατέτριψε, καὶ τὰ πράγματα πάντ' ἐλυμήνατο τὰ τῆς πόλεως, καὶ ὅσαι περὶ τούτων ἐμοὶ πρὸς τοῦτον ἀπέχθειαι συνέβησαν βουλομένῳ κωλύειν, αὐτίκ' ἀκούσεσθε.

dire, grands dieux ! que vous ne deviez point songer à vos ancêtres, ni écouter ceux qui vous rappelaient leurs trophées, leurs victoires navales; qu'il proposera formellement, par une loi, de ne secourir que les Hellènes qui vous auront secourus les premiers. Le malheureux! l'infâme! il parlait ainsi sous les yeux de ces mêmes représentants de la Grèce que vous appelâtes, d'après ses propres conseils, avant qu'il se fût vendu.

Comment Eschine, réélu par vous pour aller recevoir les serments, dissipa des moments précieux, et ruina toutes les affaires de la république; quelles inimitiés mon opposition à ses desseins souleva entre lui et moi, c'est ce que vous apprendrez bientôt. Voici ce qui a suivi le retour de cette seconde mission dont vous lui demandez compte aujourd'hui.

ἀξίους πολλῶν θανάτων,	dignes de plusieurs morts,
ὦ Ζεῦ καὶ πάντες θεοί·	ô Jupiter, et *vous* tous, dieux!
ὡς δέοι ὑμᾶς	*disant* qu'il faudrait *que* vous
οὔτε μεμνῆσθαι	ni vous ne vous souvinssiez
τῶν προγόνων,	des aïeux,
οὔτε ἀνέχεσθαι	ni vous ne tolérassiez
τῶν λεγόντων τὰ τρόπαια	ceux qui citaient *leurs* trophées
καὶ τὰς ναυμαχίας·	et *leurs* batailles navales;
θήσειν τε	et *que lui-même* portera
καὶ γράψειν	et présentera-par-écrit
νόμον,	une loi,
ὑμᾶς βοηθεῖν	*ordonnant que* vous *ne* secourrez
μηδενὶ τῶν Ἑλλήνων,	aucun des Hellènes,
ὃς μὴ ἂν ᾖ	qui ne serait pas
βεβοηθηκὼς ὑμῖν πρότερος.	ayant secouru vous le premier.
Καὶ οὗτος	Et cet *homme*
ὁ σχέτλιος καὶ ἀναιδὴς	le misérable et impudent,
ἐτόλμα λέγειν ταῦτα,	osait dire ces choses,
τῶν πρέσβεων ἐφεστηκότων ἔτι	les députés siégeant encore
καὶ ἀκουόντων,	et entendant,
οὓς μετεπέμψασθε	*ces députés* que vous fîtes-venir
ἀπὸ τῶν Ἑλλήνων,	de chez les Hellènes,
πεισθέντες ὑπὸ τούτου	*vous*, persuadés par cet *homme*
τότε ὅτε οὔπω	alors que pas encore
ἦν πεπρακὼς ἑαυτόν.	il n'était ayant vendu soi-même.
Ἀκούσεσθε μὲν οὖν αὐτίκα,	Or vous entendrez tout-à-l'heure,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ὃν τρόπον,	de quelle manière,
ὑμῶν χειροτονησάντων	vous ayant (après que vous eûtes) élu-
πάλιν	une-seconde-fois [par-mains-levées
αὐτὸν	lui (Eschine)
ἐπὶ τοὺς ὅρκους,	pour les serments (pour faire jurer la
κατέτριψέ τε τοὺς χρόνους,	et il dissipa les moments, [paix),
καὶ ἐλυμήνατο	et il ruina
πάντα τὰ πράγματα	toutes les affaires
τὰ τῆς πόλεως,	celles de la cité,
καὶ ὅσαι ἀπέχθειαι	et quelles-grandes haines
συνέβησαν περὶ τούτων	survinrent concernant ces choses
πρὸς τοῦτον	vis à vis (entre) cet *homme*
ἐμοὶ βουλομένῳ κωλύειν.	à (et) moi qui voulais *l*'empêcher.

Ἀλλ' ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς ὅρκους, ἧσπερ εἰσὶν αἱ νῦν εὔθυναι, οὔτε μικρὸν οὔτε μέγα, οὐδ' ὁτιοῦν εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων καὶ προσδοκηθέντων, ἀλλὰ πάντ' ἐξηπατημένοι, καὶ τούτων ἕτερ' αὖθις αὖ πεπραχότων, καὶ παρὰ τὸ ψήφισμα πεπρεσβευκότων, προσῆμεν τῇ βουλῇ. Καὶ ταυτὶ πολλοὶ συνίσασιν, ἃ μέλλω λέγειν· τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν. Παρελθὼν δ' ἐγὼ πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπήγγειλα, καὶ κατηγόρησα τούτων, καὶ ἀνηριθμησάμην ἀπὸ τῶν πρώτων ἐλπίδων ἐκείνων ὧν ὁ Κτησιφῶν καὶ ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς, καὶ μετὰ ταῦθ', ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, ἃ οὗτος ἐδημηγόρησε, καὶ εἰς ἃ προήχασι τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοίπων (ταῦτα

Revenus de Macédoine, où nous n'avions trouvé réalisée aucune des promesses qu'on vous avait faites lorsque vous vous occupiez de la paix, trompés sur tous les points, ayant vu plusieurs de nos collègues, engagés dans de nouvelles perfidies, insulter à vos instructions, nous nous rendîmes au Conseil. Beaucoup d'entre vous savent très-bien ce que je vais dire, car la salle était pleine. Je m'avançai, j'exposai la vérité tout entière; j'accusai les coupables, j'énumérai d'abord ces brillantes espérances que Ctésiphon et Aristodème vous avaient apportées les premiers, puis les conseils d'Eschine au peuple pendant les négociations de la paix, et les fautes dans lesquelles on avait jeté Athènes; j'exhortai à ne pas abandonner le reste, c'est-à-dire la Pho-

Ἀλλὰ ἐπειδὴ ἥκομεν	Mais lorsque nous revînmes
πάλιν	pour-la-seconde-fois
ἐκ ταύτης τῆς πρεσβείας,	de cette ambassade,
τῆς ἐπὶ τοὺς ὅρκους,	celle concernant les serments,
ἧσπερ αἱ εὔθυναι	dont la reddition-de-compte
εἰσὶ νῦν,	est (a lieu) aujourd'hui, [grande,
εὑρημένοι οὔτε μικρὸν οὔτε μέγα,	*n*'ayant trouvé *réalisée* ni petite ni
οὐδὲ ὁτιοῦν τῶν λεχθέντων	ni aucune des choses dites [comptiez)
καὶ προςδοκηθέντων	et attendues (sur lesquelles vous
ὅτε ἐποιεῖσθε τὴν εἰρήνην,	quand vous faisiez la paix,
ἀλλὰ ἐξηπατημένοι πάντα,	mais ayant été trompés en tout,
καὶ τούτων	et ces *gens-ci* (Eschine et ses com-
πεπραχότων	ayant fait [plices)
αὖθις αὖ	encore de-nouveau
ἕτερα,	d'autres *prévarications*,
καὶ πεπρεσβευκότων	et s'étant acquittés-de-l'ambassade
παρὰ τὸ ψήφισμα,	d'une-manière-contraire au décret,
προςῆμεν τῇ βουλῇ.	nous allâmes au Conseil.
Καὶ πολλοὶ συνίσασι	Et beaucoup connaissent-intimement
ταυτί, ἃ μέλλω λέγειν·	ce que je vais dire :
τὸ γὰρ βουλευτήριον	car le local-du-Conseil
ἦν μεστὸν ἰδιωτῶν.	était rempli de simples-particuliers.
Ἐγὼ δὲ παρελθὼν	Pour moi, m'étant approché,
ἀπήγγειλα πάντα τὰ ἀληθῆ	je fis-le-rapport de toutes les choses
πρὸς τὴν βουλήν,	au Conseil, [vraies
καὶ κατηγόρησα τούτων,	et j'accusai ces *députés*,
καὶ ἀνηριθμησάμην	et j'énumérai *leurs prévarications*
ἀπὸ ἐκείνων ἐλπίδων	depuis ces-fameuses espérances (pro-
τῶν πρώτων,	les premières, [messes)
ὧν ὁ Κτησιφῶν	que Ctésiphon
καὶ ὁ Ἀριστόδημος	et Aristodème
ἀπήγγειλαν πρὸς ὑμᾶς,	rapportèrent à vous,
καὶ μετὰ ταῦτα,	et après cela,
ὅτε ἐποιεῖσθε	lorsque vous faisiez
τὴν εἰρήνην,	la paix, *j'énumérais*
ἃ οὗτος	*les discours* que cet *homme*
ἐδημηγόρησε,	adressa-au-peuple,
καὶ εἰς ἃ	et *les dangers* dans lesquels
προήχασι τὴν πόλιν,	ils ont poussé la cité,
καὶ περὶ τῶν ὑπολοίπων,	et, relativement au reste,

δ' ἦν Φωκεῖς καὶ Πύλαι) μὴ προέσθαι συνεβούλευον, μηδὲ ταῦτα παθεῖν, μηδ' ἀναρτωμένους ἐλπίσιν ἐξ ἐλπίδων καὶ ὑποσχέσεσιν, εἰς τοὔσχατον ἐλθεῖν τὰ πράγματ' ἐᾶσαι. Καὶ ἔπεισα ταῦτα τὴν βουλήν. Ἐπειδὴ δ' ἧκεν ἡ ἐκκλησία, καὶ πρὸς ὑμᾶς ἔδει λέγειν, παρελθὼν Αἰσχίνης οὑτοσὶ πρῶτος ἡμῶν ἁπάντων (καὶ πρὸς Διὸς καὶ θεῶν, πειρᾶσθε συνδιαμνημονεύειν ἂν ἀληθῆ λέγω· τὰ γὰρ πάντα τὰ πράγματα λυμηνάμενα ὑμῶν καὶ διαφθείραντα ὅλως ταῦτ' ἐστὶν ἤδη) τοῦ μὲν ἀπαγγέλλειν τι τῶν πεπρεσβευμένων, ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄρ' ἠμφισβήτει μὴ ἀληθῆ λέγειν ἐμέ, μνησθῆναι πάμπληθες ἀπέσχεν. Εἶπε δὲ τοιούτους λόγους, καὶ τηλικαῦτα καὶ τοσαῦτ' ἔχοντας ἀγαθά,

cide et les Thermopyles; à ne plus nous laisser jouer, à ne point souffrir qu'on nous précipitât de promesse en promesse, d'illusion en illusion, au fond d'un abîme. Je dis, et le Conseil me crut. Mais, lorsque le peuple fut assemblé, lorsqu'il fallut parler devant vous, Eschine s'avançant et prévenant tous ses collègues (par Jupiter et par tous les dieux ! recueillez tous vos souvenirs, et demandez-leur si je dis vrai; car dès lors tous vos intérêts reçurent une atteinte mortelle), bien loin de dire un mot de l'ambassade, de rappeler mes dénonciations devant le Conseil, d'en contester la vérité, Eschine prononça une harangue si artificieuse, si remplie de l'annonce d'immenses avantages, qu'il vous entraîna tous comme une proie. Il revenait,

ταῦτα δὲ ἦν Φωκεῖς	c'était (à savoir) les Phocidiens
καὶ Πύλαι,	et les Thermopyles, [ner,
συνεβούλευον μὴ προέσθαι,	je conseillai de ne pas *les* abandon-
μηδὲ παθεῖν	et de ne pas éprouver
τὰ αὐτά,	les mêmes *déceptions,*
μηδὲ ἀναρτωμένους	ni *que*, suspendus,
ἐξ ἐλπίδων ἐλπίσιν	d'espérances en espérances
καὶ ὑποσχέσεσιν,	et *de promesses* en promesses,
ἐᾶσαι τὰ πράγματα	laisser (vous ne laissiez) les affaires
καὶ τὴν αὐτὴν εἰρήνην	et *que* la même paix
γεγενῆσθαι μὲν	soit devenue, d'une part,
τῇ πόλει ἐκπεμψάσῃ	pour la cité qui *les* a envoyés

χων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης, αἰσχύνην γεγενῆσθαι, τοῖς δὲ πρέσβεσι τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι, προσόδους, εὐπορίας, κτήματα, πλοῦτον, ἀντὶ τῶν ἐσχάτων ἀποριῶν, εἰργάσθαι; Ἀλλὰ μήν, ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τοὺς Ὀλυνθίους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Οὐ τοίνυν θαυμάσαιμ' ἄν, εἰ καὶ τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐκ ἦν καλήν, οὐδ' οἵαν ἠξίουν ἐγώ, τὴν εἰρήνην ποιήσασθαι, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων. Ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατε αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς ᾤχετο πρεσβεύων πόλεως, ἢ ταύτης αὐτῆς. Εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν κεκρατηκέναι τε τῷ πολέμῳ φήσει, καὶ χρηστοὺς ἔχειν στρατηγούς, εἰκότως χρήματ' εἴληφεν. Εἰ δ' ἐκ ταύτης αὐτῆς, τίνος ἕνεκα, ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν ἑαυτῆς ἀπέστη, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται; τῶν γὰρ αὐτῶν

détaché d'elle ses domaines, et substitué la honte à tant de gloire, ait produit aux députés traîtres à cette même nation, revenus, aisance, propriétés, richesses, en échange de l'extrême misère? — Appelle les Olynthiens qui doivent déposer en faveur de cette vérite.

TÉMOINS.

Je ne serais pas étonné qu'Eschine poussât l'audace jusqu'à dire : Une paix honorable, une paix telle que la voulait Démosthène, était devenue impossible par les fautes de nos généraux. S'il parle ainsi, au nom des dieux, n'oubliez point de lui adresser cette question : Est-ce d'une autre république, est-ce d'Athènes qu'il était le mandataire? Dans le premier cas, s'il dit que cette république avait pour elle la victoire et de bons généraux, il a pu recevoir des présents. Dans le second, pourquoi le voyons-nous comblé de récompenses pour les

ὄλεθρον τῶν συμμάχων,	la ruine de ses alliés,
ἀπόστασιν δὲ τῶν κτημάτων,	la perte de ses possessions,
αἰσχύνην δὲ ἀντὶ δόξης,	la honte au-lieu-de la gloire;
τοῖς δὲ πρέσβεσι	*et que* d'autre part pour les députés
τοῖς πράξασι ταῦτα	qui ont fait cela
κατὰ τῆς πόλεως,	contre la cité,
εἰργάσθαι προσόδους,	elle ait produit revenus,
εὐπορίας, κτήματα, πλοῦτον,	abondance, propriétés, opulence,
ἀντὶ τῶν ἐσχάτων ἀποριῶν;	au-lieu-de la dernière misère?
Ἀλλὰ μήν, κάλει μοι	D'ailleurs, appelle-moi
τοὺς Ὀλυνθίους μάρτυρας	les Olynthiens, *qui sont* témoins
ὅτι λέγω	que je dis
ταῦτα ἀληθῆ.	ces choses vraies (avec vérité).

ΜΑΡΤΥΡΕΣ.	TÉMOINS.

Οὐ τοίνυν θαυμάσαιμι ἄν,	Or je ne m'étonnerais pas,
εἰ τολμήσει λέγειν	s'il osera dire
καὶ τοιοῦτό τι,	même quelque chose de tel,
ὡς οὐκ ἦν	*savoir,* qu'il n'était pas *possible*
ποιήσασθαι τὴν εἰρήνην καλήν,	de faire une paix belle,
οὐδὲ οἵαν ἐγὼ ἠξίουν,	ni *telle* que je demandais,
τῶν στρατηγῶν	les généraux
κεχρημένων κακῶς	ayant usé mal
τῷ πολέμῳ.	de la guerre (s'y étant mal conduits).
Ἂν δὴ λέγῃ ταῦτα,	Si donc il dit cela,
ἐρωτήσατε αὐτὸν μεμνημένοι,	demandez-lui, vous *en* souvenant,
πρὸς θεῶν, πότερον ᾤχετο	par les dieux! s'il s'en allait
πρεσβεύων	étant-ambassadeur
ἐξ ἑτέρας τινὸς πόλεως,	de quelque autre cité,
ἢ ταύτης αὐτῆς.	ou de celle-ci même.
Εἰ μὲν γὰρ ἐξ ἑτέρας,	Car, si *c'est* d'une autre *cité,*
ἣν φήσει	laquelle il dira
κεκρατηκέναι τε τῷ πολέμῳ	et avoir vaincu à la guerre
καὶ ἔχειν στρατηγοὺς χρηστούς,	et posséder des généraux excellents,
εἰκότως εἴληφε χρήματα.	probablement il a reçu des présents.
Εἰ δὲ ἐκ ταύτης αὐτῆς,	Mais si *c'est* de cette *cité* même,
τίνος ἕνεκα	pourquoi
οὗτος φαίνεται	cet *homme* paraît-il
προσλαβὼν δῶρα	ayant-reçu des dons [quelles
ἐπὶ τούτοις ἐπὶ οἷς	après ces *négociations* après les-

ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν, καὶ τοὺς ἐκ ταύτης πρέσβεις, εἴπερ τι τῶν δικαίων ἐγίγνετο. Νῦν δέ, ἡ μὲν πόλις τῶν αὑτῆς ἀφέστηκεν, οὗτος δὲ χρήματ' εἴληφεν.

Ἔτι τοίνυν κἀκεῖνο σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι. Πότερ' οἴεσθε, πλέον Φωκέας Θηβαίων, ἢ Φίλιππον ὑμῶν, κρατεῖν τῷ πολέμῳ; ἐγὼ μὲν γὰρ εὖ οἶδ', ὅτι Φωκεῖς Θηβαίων. Εἶχον μὲν γὰρ Ὀρχομενόν, καὶ Κορώνειαν, καὶ τὸ Τιλφωσσαῖον, καὶ τοὺς ἐν Νέωσιν[1] ἀπειλήφεσαν αὑτῶν, καὶ ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν ἐπὶ τῷ Ἡδυλείῳ, καὶ τρόπαιον εἱστήκει, καὶ ἱπποκράτουν, καὶ κακῶν Ἰλιὰς περιειστήκει Θηβαίους[2]. Ὑμῖν δέ, τοιοῦτο μὲν οὐδὲν οὔτ' ἦν, μήτε γένοιτο τοῦ λοιποῦ. Τοῦτο δ' ἦν τὸ δεινότατον τοῦ πρὸς Φίλιππον πολέμου· οὐκ ἠδύνασθε κακῶς, ἡνίκ' ἠβούλεσθε, ποιεῖν ἐκεῖνον· τοῦ δὲ μὴ πάσχειν ἔτι αὐτοὶ

mêmes négociations qui ont dépouillé la ville qui l'avait envoyé? Avec un peu de justice, même sort aurait uni et république et représentants : loin de là, Athènes s'est ruinée, Eschine s'est enrichi!

Pesez encore cette considération, ô Athéniens. La Phocide avait-elle sur Thèbes plus d'avantage à la guerre que Philippe sur vous? Pour moi, je prononce en faveur de la Phocide. Elle possédait Orchomène, Coronée, Tilphossée, elle avait dégagé ses troupes assiégées dans Néones, tué à l'ennemi deux cent soixante-dix hommes sur le mont Hédylée, où elle érigea un trophée; elle avait vaincu dans un combat de cavalerie; Thèbes enfin était accablée d'un déluge de maux. Tel n'était pas votre sort, tel ne soit-il jamais! Ce qu'avait de plus fâcheux votre guerre contre Philippe, c'était de ne pouvoir

πόλις ἡ πέμψασα ἀπέστη	la cité qui-*l'*envoya fut privée
τῶν ἑαυτῆς;	de ce *qui était* à elle?
ἔδει γὰρ	car il fallait
πόλιν τε τὴν πέμψασαν	et la cité qui envoya
καὶ τοὺς πρέσβεις ἐκ ταύτης	et les députés d'elle
τυγχάνειν τῶν αὐτῶν,	rencontrer les mêmes *chances,*
εἴπερ τι τῶν δικαίων	si-toutefois une des choses justes
ἐγίγνετο.	s'exécutait.
Νῦν δέ,	Maintenant, au-contraire,
ἡ μὲν πόλις ἀφέστηκε	la cité a été détachée
τῶν αὑτῆς,	des *possessions* d'elle-même,
οὗτος δὲ εἴληφε χρήματα.	et celui-ci a reçu de l'argent.
Σκέψασθε τοίνυν ἔτι	Or examinez encore
καὶ ἐκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι.	même ceci, ô hommes Athéniens.
Πότερα οἴεσθε	Est-ce que vous croyez
Φωκέας	*que* les Phocidiens
κρατεῖν τῷ πολέμῳ	l'emportaient à la guerre
Θηβαίων	sur les Thébains
πλέον ἢ Φίλιππον ὑμῶν;	plus que Philippe sur vous?
ἐγὼ μὲν γὰρ οἶδα εὖ	car, pour moi, je sais bien
ὅτι Φωκεῖς	que les Phocidiens
Θηβαίων.	*l'emportaient plus* sur les Thébains.
Εἶχον μὲν γὰρ Ὀρχομενόν,	Ils possédaient en effet Orchomène,
καὶ Κορώνειαν,	et Coronée,
καὶ τὸ Τιλφωσσαῖον,	et Tilphossée,
καὶ ἀπειλήφεσαν τοὺς αὑτῶν	et ils avaient repris ceux des leurs
ἐν Νέωσιν,	*qui étaient assiégés* dans Néones,
καὶ ἀπεκτόνεσαν	et ils tuèrent
ἑβδομήκοντα καὶ διακοσίους	soixante-dix et deux-cents *ennemis*
ἐπὶ τῷ Ἡδυλείῳ,	sur le *mont* Hédylée, [*eux,*
καὶ τρόπαιον εἱστήκει,	et un trophée avait été dressé *par*
καὶ ἱπποκράτουν,	et ils vainquaient-par-leur-cavalerie,
καὶ Ἰλιὰς κακῶν	et une Iliade de malheurs
περιειστήκει Θηβαίους.	avait entouré les Thébains.
Ὑμῖν δὲ οὐδὲν μὲν τοιοῦτο	A vous rien de pareil
οὔτε ἦν,	n'était *arrivé,*
μήτε γένοιτο τοῦ λοιποῦ.	et puisse-t-il ne pas arriver à l'avenir!
Τοῦτο δὲ ἦν τὸ δεινότατον	Mais ceci était *le point* le plus grave
τοῦ πολέμου πρὸς Φίλιππον·	de la guerre contre Philippe :
οὐκ ἠδύνασθε ποιεῖν κακῶς	vous ne pouviez point faire du mal

πᾶσαν ἄδειαν ἤγετε. Τί ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης, τοῖς μὲν Θηβαίοις, τοῖς τοσοῦτο κρατουμένοις τῷ πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσασθαι, καὶ τὰ τῶν ἐχθρῶν προςλαβεῖν γέγονε· τοῖς δὲ Ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ πολέμῳ διεσώζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι; Ὅτι τὰ μὲν ἐκείνων οὐκ ἀπέδοντο οἱ πρέσβεις, τὰ δ' ὑμέτερα οὗτοι πεπράκασιν. Ἀλλὰ νὴ Δία τοὺς συμμάχους ἀπειρηκέναι φήσει τῷ πολέμῳ[1]· ὅτι γὰρ ταῦθ' οὕτω πέπρακται, καὶ ἐκ τῶν ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε.

Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν[2] αὕτη ἡ τοῦ Φιλοκράτους, ἣ συνεῖπεν οὗτος· οἱ δὲ πρέσβεις ἀπήρκεσαν οἱ τοῦ Φιλίππου, λαβόντες τοὺς ὅρκους (καὶ μέχρι τούτου γε οὐδὲν ἀνήκεστον ἦν τῶν πεπραγμένων, ἀλλ' αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀναξία τῆς πόλεως, ἀντὶ δὲ τούτων δὴ τὰ θαυμάσι' ἀγαθὰ ὑμῖν ἤμελλεν

l'attaquer lorsque vous le vouliez; du reste, vous étiez entièrement à l'abri de ses coups. Pourquoi donc la paix a-t-elle rendu d'anciennes possessions et partagé, par surcroît, celles de l'ennemi, aux Thébains, foulés par la guerre ? Pourquoi cette même paix vous a-t-elle enlevé, ô Athéniens, jusqu'aux domaines que la guerre vous avait laissés? C'est que, par ses députés, Thèbes a été fidèlement servie, Athènes a été vendue. Cependant, par Jupiter! Eschine dira que la guerre avait écrasé vos alliés. Mais, par ce qui suit, vous connaîtrez encore mieux la vérité des faits.

Lorsque cette paix de Philocrate, appuyée par l'accusé, eut été conclue, lorsque les envoyés de Philippe furent repartis avec nos serments, rien n'était encore perdu sans ressource : le traité, il est vrai, n'était ni honorable, ni digne de la République ; mais nous devions recevoir de merveilleux dédommagements. Je vous deman-

ἐκεῖνον ἡνίκα ἠβούλεσθε·	à lui quand vous vouliez;
αὐτοὶ δὲ	mais *aussi vous*-mêmes
ἤγετε πᾶσαν ἄδειαν	meniez (jouissiez de) toute sécurité
τοῦ μὴ πάσχειν ἔτι.	de ne plus souffrir *ses attaques.*
Τί ποτε οὖν	Pourquoi enfin donc
ἐκ τῆς αὐτῆς εἰρήνης	de la même paix
γέγονε τοῖς μὲν Θηβαίοις,	est-il résulté pour les Thébains,
τοῖς κρατουμένοις τοσοῦτο	vaincus à-ce-point
τῷ πολέμῳ,	à la guerre, [mêmes,
καὶ κομίσασθαι τὰ ἑαυτῶν,	et de recouvrer les possessions d'eux-
καὶ προςλαβεῖν	et de recevoir-de-plus
τὰ τῶν ἐχθρῶν·	les *possessions* de leurs ennemis;
ὑμῖν δὲ τοῖς Ἀθηναίοις,	et *que* pour vous, *qui êtes* Athéniens,
καὶ ταῦτα ἃ διεσώζετο	même ce qui *vous* était conservé
τῷ πολέμῳ	par la guerre
ἀπολωλεκέναι ἐπὶ τῆς εἰρήνης;	ait été perdu après la paix?
Ὅτι οἱ πρέσβεις	*C'est* parce que les ambassadeurs
οὐκ ἀπέδοντο	ne trahissaient pas
τὰ μὲν ἐκείνων,	les *intérêts* de ceux-là, [vôtres.
οὗτοι δὲ πεπράκασι τὰ ὑμέτερα.	*et que* ces *hommes* ont vendu les
Ἀλλὰ φήσει νὴ Δία	Mais *Eschine* affirmera, par Jupiter,
τοὺς συμμάχους	*que* les alliés
ἀπειρηκέναι τῷ πολέμῳ·	étaient accablés par la guerre :
εἴσεσθε γὰρ ἔτι μᾶλλον	vous saurez encore mieux
καὶ ἐκ τῶν ἐπιλοίπων	même par les *faits* qui-restent
ὅτι ταῦτα πέπρακται οὕτως.	que cela s'est accompli ainsi.
Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη	Lorsque, en effet, la paix,
αὕτη ἡ τοῦ Φιλοκράτους,	celle de Philocrate
ᾗ οὗτος συνεῖπεν,	pour laquelle cet *homme* parla,
εἶχε τέλος·	eut fin (fut conclue);
οἱ δὲ πρέσβεις οἱ τοῦ Φιλίππου	et *que* les députés de Philippe
ἀπήρχεσαν	s'en furent allés
λαβόντες τοὺς ὅρκους	ayant reçu *nos* serments
(καὶ μέχρι τούτου γε	(et jusque-là du moins
οὐδὲν τῶν πεπραγμένων	aucun des actes-accomplis
ἦν ἀνήκεστον, ἀλλὰ ἡ εἰρήνη	n'était irréparable, mais la paix
αἰσχρὰ μὲν	d'une part, *était* honteuse
καὶ ἀναξία τῆς πόλεως,	et indigne de la République,
τὰ δὲ δὴ ἀγαθὰ	et, d'autre part, des avantages
θαυμάσια	étonnants

ἔσεσθαι)· ἠξίουν ὑμᾶς ἐγώ, καὶ τούτοις ἔλεγον πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλησπόντου, καὶ μὴ προέσθαι, μηδ' ἐᾶσαι κατασχεῖν Φίλιππον μηδὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ χωρίων· ᾔδειν γὰρ ἀκριβῶς, ὅτι πάνθ', ὅσα ἂν ἐκ πολέμου γιγνομένης εἰρήνης προεθῇ, ταῦτα τοῖς ἀμελήσασιν ἀπόλλυται. Οὐδεὶς γὰρ πώποτε ὑπὲρ τῶν ὅλων πεισθεὶς εἰρήνην ἄγειν, ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξαρχῆς ἠθέλησε πολεμεῖν, ἀλλὰ ταῦθ' οἱ προλαβόντες ἔχουσι. Χωρὶς δὲ τούτων, δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πόλιν ἡγούμην, πλευσάντων ἡμῶν[1]. Ἢ γὰρ παρόντων, καὶ κατὰ τὸ ψήφισμ' αὐτὸν ἐξορκωσάντων, ἃ μὲν εἰλήφει τῆς πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν ἀφέξεσθαι, ἢ μὴ ποιοῦντος ἐκείνου ταῦτα, ἀπαγγελεῖν ἡμᾶς εὐθέως δεῦρο. Ὥστ' ἐν ἐκείνοις τοῖς

dais un ordre de départ, je pressais mes collègues de s'embarquer au plus tôt pour l'Hellespont, de ne rien négliger, de ne pas laisser Philippe, dans l'intervalle, s'emparer de quelque place de ces contrées, persuadé que tout ce qui est pris durant les négociations de la paix est perdu pour le parti qui s'endort. Aucun peuple, en effet, déterminé à la paix pour un bien général, n'a jamais voulu recommencer la guerre pour réparer quelques négligences; et le conquérant garde ses dernières usurpations. D'ailleurs, notre voyage par mer assurait, dans ma pensée, deux avantages à la République. Présents sur les lieux et faisant prêter serment à Philippe, d'après le décret, ou nous l'aurions obligé de rendre ce qu'il avait pris à notre patrie, et de ne pas toucher au reste; ou, s'il ne l'eût point fait, nous vous l'aurions mandé sur-le-champ. Par là, instruits de son

ἤμελλεν ἔσεσθαι ὑμῖν)·	devaient exister pour vous);
ἐγὼ ἠξίουν ὑμᾶς	moi, je demandais à vous
καὶ ἔλεγον τούτοις	et je disais à eux (aux députés)
πλεῖν	de s'embarquer
τὴν ταχίστην	le plus promptement
ἐπὶ Ἑλλησπόντου,	pour l'Hellespont, [ser
καὶ μὴ προέσθαι, μηδὲ ἐᾶσαι	et de ne pas perdre, de ne pas lais-
Φίλιππον κατασχεῖν	Philippe s'emparer
ἐν χρόνῳ τῷ μεταξὺ	dans le temps entre (dans l'intervalle)
μηδὲν χωρίων	d'aucune des places
τῶν ἐκεῖ·	*situées* dans-ce-pays :
ᾔδειν γὰρ ἀκριβῶς	*qu*'en effet je savais parfaitement
ὅτι πάντα ταῦτα	que toutes ces *places*
ἀπόλλυται τοῖς ἀμελήσασιν,	sont perdues pour les négligents,
ὅσα ἂν προεθῇ	lesquelles ont pu être perdues
εἰρήνης γιγνομένης	la paix se concluant (pendant qu'elle
ἐκ πολέμου.	après la guerre. [se concluait)
Οὐδεὶς γὰρ πώποτε	Car jamais personne,
πεισθεὶς ἄγειν εἰρήνην	engagé à faire la paix
ὑπὲρ τῶν ὅλων,	pour des *intérêts* généraux,
ἠθέλησε πολεμεῖν ἐξ ἀρχῆς	ne voulut guerroyer de nouveau
ὑπὲρ τῶν ἐγκαταλειφθέντων,	au-sujet-de *places* négligées,
ἀλλὰ οἱ προλαβόντες ταῦτα	mais ceux qui ont pris-d'avance elles
ἔχουσι. Χωρὶς δὲ τούτων,	*les* ont (les gardent). Outre cela,
ἡγούμην τὴν πόλιν	je pensais *que* la République
οὐ διαμαρτήσεσθαι	ne laisserait-point-échapper
δυοῖν χρησίμοιν,	deux avantages, [embarquions).
ἡμῶν πλευσάντων.	nous nous embarquant (si nous nous
Ἢ γὰρ	*Je pensais* en effet *que* ou,
παρόντων,	*nous* étant présents,
καὶ ἐξορκωσάντων	et ayant fait-prêter-serment
αὐτὸν	à lui (à Philippe)
κατὰ τὸ ψήφισμα,	conformément au décret,
ἀποδώσειν μὲν	*Philippe* rendrait, d'une part,
ἃ εἰλήφει	ce qu'il avait pris
τῆς πόλεως,	à la République, [reste;
ἀφέξεσθαι δὲ τῶν λοιπῶν,	et, d'autre part, s'abstiendrait du
ἤ, ἐκείνου μὴ ποιοῦντος ταῦτα,	ou bien, lui ne faisant pas cela,
ἡμᾶς ἀπαγγελεῖν εὐθέως δεῦρο.	nous *en* référerions aussitôt ici.
Ὥστε ὑμᾶς ἰδόντας	Tellement-que vous, connaissant

πόῤῥω καὶ ἐλάττοσι τὴν πλεονεξίαν, καὶ τὴν ἀπιστίαν ἰδόντας ὑμᾶς, περὶ τῶνδε τῶν ἐγγὺς καὶ μειζόνων, λέγω δὴ Φωκέων καὶ Πυλῶν, οὐ προήσεσθαι. Μὴ προλαβόντος δ' ἐκείνου ταῦτα, μηδ' ὑμῶν ἐξαπατηθέντων, ἅπαντ' ἐν ἀσφαλεῖ τὰ πράγμαθ' ὑμῖν ἔσεσθαι, καὶ παρ' ἑκόντος ὑπάρξειν αὐτοῦ τὰ δίκαια. Καὶ ταῦτ' εἰκότως ὑπελάμβανον οὕτως ἕξειν. Εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε, οἱ Φωκεῖς σῷοι, καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν οὐδὲν ἂν εἶχεν ὑμῖν ἀνατείνασθαι φοβερόν, δι' ὃ τῶν δικαίων ἄν τι παρείδετε. Οὔτε γὰρ κατὰ γῆν παρελθών, οὔτε ναυσὶ κρατήσας, εἰς τὴν Ἀττικὴν ἥξειν ἤμελλεν, ὑμεῖς δ' ἐκείνῳ παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλείσειν τὰ ἐμπόρια, καὶ χρημάτων τ' ἐν σπάνει, καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν.

avidité et de sa mauvaise foi pour des objets éloignés et moins essentiels, vous ne lui auriez pas abandonné deux postes voisins et importants, la Phocide et les Thermopyles. Par là encore, Philippe n'ayant pas fait cet envahissement, et Athènes n'étant pas tombée dans le piége, vous auriez été à l'abri de toute crainte, et lui-même vous aurait donné satisfaction. Et mes conjectures étaient fondées. Car, si la Phocide était, comme alors, debout et maîtresse des Thermopyles, ce prince ne pourrait lever sur vous une main menaçante, pour vous forcer à céder vos droits. Sans passage par terre, sans supériorité maritime, il n'aurait pu pénétrer dans l'Attique; et, s'il eût refusé de vous faire justice, vous pouviez à l'instant lui fermer tous les ports, l'appauvrir, le bloquer, lui couper toutes ses res-

τὴν πλεονεξίαν	l'avidité
καὶ τὴν ἀπιστίαν	et la perfidie *de Philippe*
ἐν ἐκείνοις τοῖς πόρρω	dans ces *objets* loin (éloignés)
καὶ ἐλάττοσιν,	et moindres,
οὐ προήσεσθαι	vous ne *lui* abandonneriez *rien*
περὶ τῶνδε τῶν ἐγγὺς	concernant ces *objets* proches
καὶ μειζόνων,	et plus importants,
λέγω δὴ	je désigne ainsi
Φωκέων καὶ Πυλῶν.	les Phocidiens et les Thermopyles.
Ἐκείνου δὲ	Or, lui
μὴ προλαβόντος ταῦτα,	n'ayant pas conquis-rapidement cela,
μηδὲ ὑμῶν ἐξαπατηθέντων,	et vous n'ayant pas été surpris,
ἅπαντα τὰ πράγματα ἔσεσθαι	toutes les affaires seraient
ἐν ἀσφαλεῖ ὑμῖν,	en sécurité pour vous,
καὶ τὰ δίκαια	et les droits
ὑπάρξειν	seraient obtenus (respectés)
παρὰ αὐτοῦ ἑκόντος.	de (par) lui le-voulant-bien.
Καὶ ὑπελάμβανον	Et je conjecturais
εἰκότως	avec-vraisemblance
ταῦτα ἕξειν οὕτως.	*que* ces choses seraient ainsi.
Εἰ γὰρ οἱ Φωκεῖς	Car, si les Phocidiens
ἦσαν σῷοι,	étaient *encore* sains-et-saufs,
ὡς ἦσαν τότε,	comme ils étaient alors,
καὶ εἶχον Πύλας,	et *s*'ils possédaient les Thermopyles,
ἐκεῖνος μὲν εἶχεν ἂν ἀνατείνασθαι	ce *prince ne* pourrait élever
ὑμῖν οὐδὲν φοβερόν,	contre vous rien de formidable,
διὰ ὃ	par-l'effet-de quoi
ἂν παρείδετέ	vous négligeriez
τι τῶν δικαίων.	quelqu'une des choses justes.
Οὔτε γὰρ	En effet,
παρελθὼν κατὰ γῆν,	ni passant par terre
οὔτε κρατήσας ναυσίν,	ni dominant par *ses* vaisseaux,
ἤμελλεν ἥξειν εἰς τὴν Ἀττικήν,	il ne devait entrer en Attique,
ὑμεῖς δέ,	et vous, au contraire,
εἰ μὴ ποιοίη τὰ δίκαια,	s'il n'eût point fait les choses justes,
κλείσειν ἐκείνῳ παραχρῆμα	*vous deviez* fermer à lui sur-le-
τὰ ἐμπόρια,	les ports, [champ
καὶ καταστήσειν αὐτὸν πάλιν	et mettre lui à-son-tour
ἔν τε σπάνει χρημάτων,	et en disette de denrées,
καὶ ἐν πολιορκίᾳ τῶν ἄλλων.	et en blocus pour le reste.

Ὥςτ' ἐκεῖνος ὁ δουλεύσων ἤμελλεν ἔσεσθαι τοῖς ἀπὸ τῆς εἰρήνης λυσιτελοῦσιν, οὐχ ὑμεῖς.

Καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσι νυνὶ πλάττομαι, καὶ προςποιοῦμαι, ἀλλὰ τότ' εὐθὺς ἐγνώκειν, καὶ προεωρώμην ὑπὲρ ὑμῶν, καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. Ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκ ἔτ' ἦν ὑπόλοιπος οὐδεμία, διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπῄεσαν, ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην· τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται, γράψας, ὥςπερ νῦν λέγω, τοῖς ῥήμασιν, ἄντικρυς οὕτω. Καί μοι λέγε τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ.

Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως ἄκοντας, ὡς κα-

sources. Ainsi, c'est Philippe, ce n'est pas Athènes, qui eût fléchi pour posséder les avantages de la paix.

Et, ces réflexions, je ne viens pas aujourd'hui les régler sur l'événement, ni m'en prévaloir après coup; dès lors je les faisais, je lisais pour vous dans l'avenir, j'avertissais mes collègues : en voici la preuve. Le peuple n'avait plus à s'assembler, puisque tout était décidé; les députés n'étaient point partis, et perdaient ici leur temps. Alors, comme membre du Conseil, que le peuple avait chargé de régler le départ, je propose, par un arrêté, que l'ambassade parte au plus tôt, et se rende, sous la conduite du général Proxénos, dans les lieux où il apprendra la présence de Philippe. Tels étaient les termes mêmes de cet acte, qu'on va lire.

DÉCRET.

J'entraînai donc mes collègues malgré eux, comme le prouvera

Ὥςτε ἐκεῖνος, οὐχ ὑμεῖς,	Si-bien-que ce *prince*, non vous,
ἤμελλεν ἔσεσθαι ὁ δουλεύσων	devait être recherchant-obséquieu-
τοῖς λυσιτελοῦσιν	les avantages [sement
ἀπὸ τῆς εἰρήνης.	*résultant* de la paix.
Καὶ εἴσεσθε	Et vous saurez
ἐκεῖθεν	par-ceci (par ce qui va suivre)
ὅτι οὐ πλάττομαι νυνὶ	que je ne forge pas maintenant
ταῦτα	ces *considérations*
ἐπὶ τοῖς συμβεβηκόσι,	d'après les événements,
καὶ προςποιοῦμαι,	et *que* je *ne* me *les* arroge point,
ἀλλὰ ἐγνώκειν	mais *que* je *les* avais reconnues
τότε εὐθύς,	dès-lors aussitôt,
καὶ προεωρώμην ὑπὲρ ὑμῶν,	et *que* je prévoyais pour vous,
καὶ ἔλεγον τούτοις.	et *que* je *les* disais à ces *hommes*.
Ἐπειδὴ γὰρ	Quand, en effet,
οὐδεμία μὲν ἐκκλησία	aucune assemblée-populaire
οὐκ ἦν ἔτι ὑπόλοιπος,	n'était plus restante (ne restait plus
διὰ τὸ	à cause du [à tenir),
προκατακεχρῆσθαι,	*les* avoir épuisées-d'avance,
οὗτοι δὲ οὐκ ἀπῄεσαν,	et *comme* ceux-ci ne partaient pas,
ἀλλὰ διέτριβον αὐτοῦ,	mais consumaient-le-temps ici,
βουλεύων	étant-membre-du-Conseil,
γράφω ψήφισμα,	je rédige un décret,
τοῦ δήμου ποιήσαντος	le peuple ayant fait
τὴν βουλὴν κυρίαν,	le Conseil arbitre-absolu *du départ*,
τοὺς πρέσβεις ἀπιέναι	*portant que* les députés partiront
τὴν ταχίστην·	au plus vite;
Πρόξενον δὲ τὸν στρατηγὸν	*que* Proxénos le général
κομίζειν αὐτοὺς	transportera eux
ἐπὶ τοὺς τόπους ἐν οἷς	vers les lieux dans lesquels
ἂν πυνθάνηται	il apprendrait [lippe),
Φίλιππον ὄντα,	Philippe étant (que se trouve Phi-
γράψας οὕτως ἄντικρυς	ayant écrit *cet ordre* aussi explicite-
τοῖς ῥήμασιν,	avec les termes [ment
ὥςπερ λέγω νῦν.	comme (que) je dis maintenant.
Καὶ λαβὼν λέγε μοι	Et *l*'ayant pris, lis-moi
τοῦτο τὸ ψήφισμα.	ce décret.

ΨΗΦΙΣΜΑ.	DÉCRET.
Ἐξήγαγον μὲν τοίνυν ἐνθένδε	Je fis-partir donc d'ici

θαρῶς, οἷς μετὰ ταῦτ' ἐποίουν, εἴσεσθε. Ἐπειδὴ δὲ ἀφικόμεθα εἰς Ὠρεόν, καὶ συνεμίξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν, καὶ τὰ προστεταγμένα πράττειν, ἐπορεύοντο κύκλῳ, καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν· τὰς δὲ ἄλλας ἁπάσας καθήμεθα ἐν Πέλλῃ, πρὶν Φίλιππον ἐλθεῖν. Σὺν αἷς ἐπορεύθημεν ὁμοῦ πεντήκονθ' ὅλας. Ἐν δὲ τούτῳ, Δορίσκον, Θρᾴκης τἀπὶ Τειχῶν, Ἱερὸν Ὄρος[1], πάντα τὰ πράγματα ἐν εἰρήνῃ καὶ σπονδαῖς ᾕρει, καὶ διῳκεῖτο Φίλιππος, πολλὰ λέγοντος ἐμοῦ, καὶ θρυλοῦντος ἀεί· τὸ μὲν πρῶτον, ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου· μετὰ ταῦτα δέ, ὡς ἀγνοοῦντας διδάσκοντος· τελευτῶντος δέ, ὡς ἂν πρὸς πεπρακότας ἑαυτούς, καὶ ἀνοσιωτάτους ἀνθρώπους, οὐδὲν ὑποστελλο-

nettement leur conduite postérieure. Arrivés à Oréos, et réunis au général, au lieu de s'embarquer, conformément à leurs instructions, ils parcoururent un long circuit; et, avant d'arriver en Macédoine, nous avions déjà dépensé vingt-trois jours; nous restâmes longtemps à Pella, inactifs et attendant Philippe; de sorte que cinquante journées forment le total de ce voyage. Que se passa-t-il alors? Doriskos, les Forts de Thrace, Mont-Sacré, tout se rangeait sous la loi du monarque, pendant les ratifications de la paix; et moi, je ne cessais de murmurer, de protester, d'abord par l'exposé de mon opinion devant mes collègues, ensuite par les leçons qui éclairent l'ignorance, enfin par les reproches qu'on lance aux scélérats, aux perfides qui se sont

αὐτοὺς οὕτως ἄκοντας,	ces *députés* aussi malgré-eux,
ὡς εἴσεσθε καθαρῶς	comme vous saurez clairement
οἷς ἐποίουν μετὰ ταῦτα.	par *les choses* qu'ils firent après cela.
Ἐπειδὴ δὲ ἀφικόμεθα	Lorsque nous fûmes arrivés
εἰς Ὠρεόν,	à Oréos,
καὶ συνεμίξαμεν τῷ Προξένῳ,	et que nous eûmes rejoint Proxénos,
οὗτοι	ces *députés*,
ἀμελήσαντες τοῦ πλεῖν	négligeant de faire-le-voyage-par-mer
καὶ πράττειν τὰ προστεταγμένα,	et d'exécuter les choses ordonnées,
ἐπορεύοντο κύκλῳ,	s'en allèrent par un circuit,
καὶ πρὶν ἐλθεῖν	et avant d'être arrivés
εἰς Μακεδονίαν,	en Macédoine,
ἀνηλώσαμεν	nous dépensâmes
τρεῖς καὶ εἴκοσιν ἡμέρας·	trois et vingt jours :
καθήμεθα δὲ ἐν Πέλλῃ	nous restâmes-inactifs ensuite à Pella
ἁπάσας τὰς ἄλλας,	tous les autres *jours*,
πρὶν Φίλιππον ἐλθεῖν.	avant *que* Philippe *y* revînt.
Σὺν αἷς	Avec lesquels *vingt-trois jours*
ἐπορεύθημεν	nous voyageâmes
ὁμοῦ πεντήκοντα ὅλας.	totalement cinquante *jours* entiers.
Ἐν δὲ τούτῳ	Or, pendant ce *temps*,
Φίλιππος ᾕρει	Philippe prenait
καὶ διῳκεῖτο ἐν εἰρήνῃ	et réglait à-son-gré pendant la paix
καὶ σπονδαῖς,	et les libations *pour la conclure*,
Δορίσκον,	Doriskos,
τὰ ἐπὶ Τειχῶν Θρᾴκης,	les Forts de Thrace,
Ἱερὸν Ὄρος,	Mont-Sacré,
πάντα τὰ πράγματα,	toutes choses,
ἐμοῦ λέγοντος πολλὰ	moi parlant beaucoup (malgré mes
καὶ θρυλοῦντος	et murmurant [protestations)
ἀεί·	toujours ;
τὸ μὲν πρῶτον,	d'abord,
ὡς ἂν ἀποφαινομένου	comme déclarant
γνώμην εἰς κοινόν·	*mon* opinion en commun
μετὰ ταῦτα δέ, ὡς διδάσκοντος	ensuite, comme éclairant
ἀγνοοῦντας·	*des collègues* ignorants ;
τελευτῶντος δέ,	et finissant (enfin),
ὡς ἂν ὑποστελλομένου οὐδὲν	comme ne ménageant rien
πρὸς ἀνθρώπους	auprès d'hommes
πεπρακότας ἑαυτούς,	ayant vendu eux-mêmes,

μένου. Ὁ δὲ τούτοις ἀντιλέγων φανερῶς, καὶ ἅπασιν ἐναντιούμενος, οἷς ἔλεγον μὲν ἐγώ, ἐψήφιστο δὲ ὑφ' ὑμῶν, οὗτος ἦν. Εἰ δὲ καὶ πᾶσιν ἤρεσκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκα εἴσεσθε. Ἐγὼ μὲν γὰρ οὐδέν πω λέγω περὶ οὐδενός, οὐδ' αἰτιῶμαι, οὐδ' ἀναγκασθέντ' αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι τήμερον, ἀλλὰ δι' αὑτόν, καὶ τὸ μὴ κεκοινωνηκέναι τῶν ἀδικημάτων. Ὅτι μὲν γὰρ αἰσχρὰ καὶ δεινά, καὶ οὐ προῖκα τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑωράκατε. Οἵτινες δ' οἱ τούτων μετεσχηκότες, αὐτὰ δηλώσει.

Ἀλλὰ νὴ Δία, ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον παρὰ τῶν συμμάχων; ἢ τἄλλ', ἃ προσῆκεν, ἐποίησαν; πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημήσαντες, καὶ χιλίας δραχμὰς λαβόντες ἐφόδιον παρ' ὑμῶν, ὅσα παρ' οὐδεμιᾶς ἄλλης πό-

vendus. Celui qui me contredisait avec éclat, celui qui combattait tous mes avis, tous vos ordres, c'était Eschine. Les autres députés pensaient-ils tous comme lui ? vous le saurez bientôt. Je ne parle d'aucun d'eux, je ne les accuse pas encore. N'en forçons pas un seul à prouver aujourd'hui sa probité; qu'ils le fassent spontanément, et poussés par leur seule innocence. Ainsi, honte, crime, vénalité, voilà ce que vous avez tous vu jusqu'ici. Quant à ceux qui y ont pris part, les faits mêmes les désigneront.

Mais, du moins, pendant ce long intervalle, ont-ils pris les serments des alliés ? ont-ils rempli leurs autres devoirs ? Non, mille fois non ! Absents d'Athènes pendant trois mois entiers, ayant reçu de vous, pour leurs dépenses, mille drachmes, indemnité plus forte

καὶ ἀνοσιωτάτους.	et très-impies.
Οὗτος δὲ ἦν ὁ ἀντιλέγων	Or celui-ci était celui qui contredisait
φανερῶς τούτοις,	ouvertement ces *paroles*,
καὶ ἐναντιούμενος ἅπασιν	et qui s'opposait à tout
οἷς ἐγὼ μὲν ἔλεγον,	*ce* que moi je disais, [vous.
ἐψήφιστο δὲ ὑπὸ ὑμῶν.	et *à tout ce qui* avait été décrété par
Εἴσεσθε δὲ αὐτίκα	Et vous saurez bientôt [chine)
εἰ ταῦτα	si ces choses (cette opposition d'Es-
ἤρεσκε καὶ	plaisait aussi
πᾶσι τοῖς ἄλλοις πρέσβεσιν.	à tous les autres députés.
Ἐγὼ μὲν γὰρ λέγω οὐδέν πω	Car, pour moi, je ne dis rien encore
περὶ οὐδενός, οὐδὲ αἰτιῶμαι,	d'aucun *d'eux*, je n'*en* accuse point,
οὐδὲ δεῖ οὐδένα αὐτῶν	et il ne faut pas *qu'*aucun d'eux
ἀναγκασθέντα	contraint (par contrainte)
δοκεῖν τήμερον	paraisse aujourd'hui
εἶναι χρηστόν,	être homme-de-bien,
ἀλλὰ	mais *il faut qu'il paraisse tel*
διὰ αὑτόν,	par lui-même,
καὶ τὸ μὴ κεκοινωνηκέναι	et *par* le n'avoir point participé
τῶν ἀδικημάτων.	aux prévarications *de l'ambassade.*
Ὑμεῖς μὲν γὰρ πάντες ἑωράκατε	Vous tous, en effet, vous avez vu
ὅτι τὰ πεπραγμένα	que les actes *de la députation*
αἰσχρὰ καὶ δεινά,	*sont* honteux et très-coupables,
καὶ οὐ προῖκα.	et non gratuitement (et intéressés).
Αὐτὰ δὲ	Mais *ces actes* eux-mêmes
δηλώσει	montreront-clairement
οἵτινες οἱ μετεσχηκότες τούτων.	quels *sont* ceux ayant participé à eux.
Ἀλλὰ νὴ Δία,	Mais, par Jupiter,
ἐν τούτῳ τῷ χρόνῳ	pendant ce temps-là,
ἔλαβον τοὺς ὅρκους	recevaient-ils les serments
παρὰ τῶν συμμάχων;	des alliés?
ἢ ἐποίησαν τὰ ἄλλα,	ou firent-ils les autres *démarches*,
ἃ προσῆκε;	qu'il convenait *de faire?*
καὶ δεῖ πολλοῦ γε.	il s'en faut même de beaucoup.
Ἀλλὰ ἀποδημήσαντες	Mais, ayant été-absents-de-leur-pays
τρεῖς μῆνας ὅλους,	trois mois entiers,
καὶ λαβόντες παρὰ ὑμῶν	et ayant reçu de vous
ἐφόδιον	*comme* indemnité-de-route
χιλίας δραχμάς,	mille drachmes,
ὅσα	autant que *des députés ne reçoivent*

λεως[1], οὔθ' ὅτ' ἐκεῖσε ἐπορεύοντο, οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον. Ἀλλ' ἐν τῷ πανδοκείῳ τῷ πρὸ τοῦ Διοσκουρείου (εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν, ὃ λέγω), ἐνταῦθ' ἐγίγνοντο οἱ ὅρκοι, ὅτε δεῦρ' ἤδη τὸ στράτευμα ἄγων ἐβάδιζε Φίλιππος, αἰσχρῶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν. Καίτοι τοῦθ' ὁ Φίλιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου τοῦτον τὸν τρόπον πραχθῆναι. Τήν τε γὰρ εἰρήνην οὐχὶ δυνηθέντων ὡς ἐπεχείρησαν οὗτοι τὸ πρῶτον, πλὴν Ἁλέων καὶ Φωκέων, γράψαι· ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλοκράτους ταῦτα μὲν ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς « Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις, » οὐκ ἠβούλετο τοῦτον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὑτοῦ συμμάχων (οὐ γὰρ αὐτῷ συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν ὑμετέρων ἠμελ-

que celles qu'allouent les autres républiques, ils n'ont fait jurer le traité à aucun peuple, ni à leur départ, ni à leur retour. Seulement, dans une auberge située en face du temple des Dioscures, et connue de ceux d'entre vous qui ont fait le voyage de Phères, ils ont reçu la parole de Philippe, lorsque déjà il marchait sur l'Attique, à la tête d'une armée : quelle honte, quel affront pour vous, hommes d'Athènes ! Mais Philippe attachait le plus haut prix à ce que tout se passât ainsi. Comme les coupables n'avaient pu, malgré leurs efforts, exclure du traité les Haliens et les Phocidiens ; comme vous aviez forcé Philocrate à effacer cette exception, et à désigner formellement *les Athéniens et les alliés d'Athènes*, Philippe ne voulait pas qu'aucun de ses alliés prêtât un serment dont ils se seraient prévalu pour ne point con-

παρὰ οὐδεμιᾶς ἄλλης πόλεως,	d'aucune autre cité,
ἔλαβον τοὺς ὅρκους	ils ne reçurent les serments
οὔτε ὅτε ἐπορεύοντο	ni lorsqu'ils allaient
ἐκεῖσε,	là (en Macédoine),
οὔτε ὅτε ἐκεῖθεν δεῦρο.	ni lorsqu'*ils revenaient* de là ici.
Ἀλλὰ ἐν τῷ πανδοκείῳ	Mais dans l'hôtellerie [res
τῷ πρὸ τοῦ Διοσκουρείου	*située* devant le temple-des-Dioscu-
(εἴ τις ὑμῶν	(si l'un de vous
ἀφῖκται εἰς Φεράς,	est allé à Phères,
οἶδεν ὃ λέγω),	il connaît *ce* que je dis),
ἐνταῦθα	là, *dis-je,*
οἱ ὅρκοι ἐγίγνοντο,	les serments eurent lieu,
ὅτε Φίλιππος	lorsque Philippe [l'Attique)
ἐβάδιζεν ἤδη δεῦρο	marchait déjà ici (s'avançait contre
ἄγων τὸ στράτευμα·	conduisant une armée :
αἰσχρῶς,	*cela fut fait* honteusement,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô Athéniens,
καὶ ἀναξίως ὑμῶν.	et d'une-manière-indigne de vous.
Καίτοι ὁ Φίλιππος ἂν ἐτιμήσατο	Toutefois Philippe aurait apprécié
πλείστου ἁπάντων	plus que tout
τοῦτο πραχθῆναι	cela avoir été fait (que cela se fît)
τοῦτον τὸν τρόπον.	de cette manière.
Οὐχὶ δυνηθέντων γὰρ	Car *les députés* n'ayant pas pu
γράψαι τε τὴν εἰρήνην,	rédiger le traité-de-paix
πλὴν Ἁλέων	excepté (en exceptant) les Haliens
καὶ Φωκέων,	et les Phocidiens, [bord ;
ὡς οὗτοι ἐπεχείρησαν τὸ πρῶτον·	comme ceux-ci avaient essayé d'a-
ἀλλὰ τοῦ Φιλοκράτους	Philocrate, au contraire,
ἀναγκασθέντος ὑπὸ ὑμῶν	ayant été forcé par vous
ἀπαλεῖψαι μὲν ταῦτα,	d'effacer cela,
γράψαι δὲ ἄντικρυς,	et d'écrire formellement,
« Ἀθηναίοις	« pour les Athéniens
καὶ τοῖς συμμάχοις Ἀθηναίων, »	et pour les alliés des Athéniens, »
οὐκ ἠβούλετο οὐδένα	*Philippe* ne voulait pas *qu'*aucun
τῶν συμμάχων αὑτοῦ	des alliés de lui-même
ὀμωμοκέναι	jurât
τοῦτον τὸν ὅρκον	ce serment *d'observer la paix*
(οὐ γὰρ ἤμελλον	(car ils ne devaient pas *dès lors*
συστρατεύσειν αὐτῷ	combattre-avec lui
ἐπὶ ἃ τῶν ὑμετέρων	contre *celles* de vos *possessions*

λον, ἀλλ' ἕξειν πρόφασιν τοὺς ὅρκους)· οὔτε μάρτυρας γενέσθαι τῶν ὑποσχέσεων, ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην· οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρα ἡ πόλις ἡ τῶν Ἀθηναίων ἥττητο τῷ πολέμῳ, ἀλλὰ Φίλιππός ἐστιν ὁ τῆς εἰρήνης ἐπιθυμῶν, καὶ ὁ πολλὰ ὑπισχνούμενος τοῖς Ἀθηναίοις, ὥςτε τυχεῖν τῆς εἰρήνης. Ἵνα δὴ μὴ γένηται ταῦθ', ἃ λέγω, φανερά, διὰ ταῦτ' ᾤετο δεῖν τούτους μηδαμόσε βαδίζειν. Οὗτοι δ' ἐχαρίζοντο πάντ', ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον. Καίτοι ταῦθ' ὅταν ἐξελέγχωνται πάντα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν Θρᾴκῃ προειμένοι, μηδέν, ὧν ἐψηφίσασθε, πεποιηκότες, μηδ' ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες· πῶς ἔνεστι παρ' εὖ φρονοῦσι δικα-

courir à ses usurpations sur nous; il ne voulait pas donner des témoins aux engagements par lesquels il obtenait la paix ; il ne voulait pas qu'il fût démontré à tous que la république athénienne était loin de traiter comme vaincue, que c'était Philippe qui soupirait après la paix, Philippe qui, à force de promesses, recevait la paix d'Athènes. Pour prévenir toutes ces indiscrétions, il jugeait à propos que nos députés ne se rendissent nulle part : coupable complaisance qu'ils accordèrent, en affichant pour lui le zèle le plus servile ! Or, s'ils sont convaincus de tous ces délits, perte de temps, abandon des forts de Thrace, refus d'agir d'après vos ordres et vos intérêts, rapports mensongers, peuvent-ils être absous par des juges prudents et

ἔχει νῦν,	qu'il a maintenant,
ἀλλὰ ἕξειν τοὺς ὅρκους	mais *ils devaient* avoir les serments
πρόφασιν)·	*pour* excuse);
οὔτε	*il ne voulait pas* non plus [moins)
μάρτυρας γενέσθαι	des témoins être (qu'il y eût des té-
τῶν ὑποσχέσεων ἐπὶ αἷς	des promesses par lesquelles
εὑρίσκετο τὴν εἰρήνην·	il obtenait la paix;
οὐδὲ τοῦτο	ni *que* ceci
δειχθῆναι πᾶσιν,	fût démontré à tous *les Grecs,*
ὅτι οὐκ ἄρα ἡ πόλις	*savoir,* que *ce* n'*était* pas la cité
ἡ τῶν Ἀθηναίων	des Athéniens
ἥττητο τῷ πολέμῳ,	*qui* était vaincue à la guerre,
ἀλλὰ Φίλιππός ἐστιν	mais *que* Philippe est
ὁ ἐπιθυμῶν	celui qui désire-ardemment
τῆς εἰρήνης,	la paix,
καὶ ὁ ὑπισχνούμενος	et celui qui promet
πολλὰ τοῖς Ἀθηναίοις,	beaucoup de choses aux Athéniens,
ὥστε τυχεῖν τῆς εἰρήνης.	pour obtenir la paix.
Ἵνα δὴ ταῦτα,	Afin donc que ces *circonstances*
ἃ λέγω,	que je dis, [nues,
μὴ γένηται φανερά,	ne devinssent pas clairement-con-
διὰ ταῦτα ᾤετο δεῖν	pour cela, il croyait *qu'*il fallait
τούτους	*que* ces députés
βαδίζειν μηδαμόσε.	n'allassent nulle part.
Οὗτοι δὲ ἐχαρίζοντο πάντα,	Or ceux-ci *lui* complaisaient en tout,
ἐνδεικνύμενοι	manifestant *leur condescendance,*
καὶ ὑπερκολακεύοντες ἐκεῖνον.	et flattant-à-l'excès ce *prince.*
Καίτοι, ὅταν ἐξελέγχωνται	Eh bien! lorsqu'ils sont convaincus
πάντα ταῦτα,	de tous ces *délits,*
ἀνηλωκότες τοὺς χρονους,	ayant (d'avoir) dissipé le temps,
προειμένοι	ayant (d'avoir) livré
τὰ ἐν Θρᾴκῃ,	les *forteresses situées* en Thrace,
πεποιηκότες μηδὲν	*n'*ayant (de n'avoir) fait rien
ὧν ἐψηφίσασθε,	de *ce* que vous décrétâtes,
μηδὲ ὧν ἦν συμφέρον,	ni *de ce* qu'il était utile *de faire,*
ἀπηγγελκότες δεῦρο	ayant (d'avoir) rapporté ici
τὰ ψευδῆ·	des mensonges;
πῶς ἔνεστι τούτοις	comment est-il-possible à eux
σώζεσθαι	d'être sauvés (acquittés)
παρὰ δικασταῖς εὖ φρονοῦσι	auprès de juges bien pensants

σταῖς, καὶ βουλομένοις εὐορκεῖν, τούτοις σώζεσθαι; Ἀλλὰ μήν, ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὁρκοῦν προςῆκεν ἡμῖν· εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου· εἶτα τὸ Φιλοκράτους ψήφισμα, καὶ τὸ τοῦ δήμου[1].

ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ.

Καὶ μήν, ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβομεν ἄν, εἴ τις ἐπείθετό μοι, καὶ τὰ προστεταγμένα ὑφ' ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος[2].

ΜΑΡΤΥΡΙΑ.

Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς, τὸ μὴ ταῦθ' ὑπὲρ Φιλίππου πράττειν, ἀκούσατέ μου. Ὅτε γὰρ τὴν προτέραν ἀπήρομεν πρεσβείαν, τὴν περὶ τῆς εἰρήνης, κήρυκα ὑμεῖς προαπεστείλατε, ὅςτις ἡμῖν σπείσεται. Τότε μὲν τοίνυν, ὡς τάχιστα εἰς

fidèles à leur parole? Eh bien! pour vérifier mes assertions, qu'on lise d'abord le décret qui statue sur les serments que nous devions exiger; ensuite la lettre de Philippe, puis le décret de Philocrate, enfin celui du peuple.

LETTRE. DÉCRETS.

Pour preuve que, si l'on eût voulu m'en croire, et suivre les instructions émanées du peuple, nous aurions atteint Philippe dans l'Hellespont, appelle les témoins qui étaient sur les lieux.

TÉMOINS.

Lis aussi une autre déposition, la réponse du prince à Euclide, que vous connaissez, et qui vint après nous.

DÉPOSITION.

Prouvons maintenant que les députés ne peuvent nier d'avoir servi, en tout, la cause de Philippe. A notre départ pour les négociations de la paix, objet de la première ambassade, vous fîtes prendre les devants à un héraut pour assurer notre marche. A peine arrivés à

καὶ βουλομένοις εὐορκεῖν;
Ἀλλὰ μήν, ὅτι λέγω
ταῦτα ἀληθῆ,
λέγε πρῶτον μὲν τὸ ψήφισμα,
ὡς προςῆκεν ἡμῖν
ὁρκοῦν·
εἶτα τὴν ἐπιστολὴν
τὴν τοῦ Φιλίππου·
εἶτα τὸ ψήφισμα Φιλοκράτους,
καὶ τὸ τοῦ δήμου.

et voulant observer-leur-serment?
Mais, *pour preuve* que je dis
ces choses vraies,
lis premièrement le décret,
portant comment il convenait à nous
de recevoir-les-serments:
ensuite la lettre
de Philippe;
ensuite le décret de Philocrate,
et celui du peuple.

ΕΠΙΣΤΟΛΗ. ΨΗΦΙΣΜΑΤΑ.

LETTRE. DÉCRETS.

Καὶ μὴν κάλει
τοὺς παρόντας ἐκεῖ
μάρτυρας
ὅτι κατελάβομεν ἂν
τὸν Φίλιππον ἐν Ἑλληςπόντῳ,
εἴ τις ἐπείθετό μοι,
καὶ ἐποίει
κατὰ τὰ ψηφίσματα
τὰ προςτεταγμένα ὑπὸ ὑμῶν.

Appelle aussi
ceux qui étaient-présents là
comme témoins
que nous aurions rencontré
Philippe dans l'Hellespont,
si quelqu'un *en* avait cru moi,
et eût fait
conformément aux décrets
les choses ordonnées par vous.

ΜΑΡΤΥΡΕΣ.

TÉMOINS.

Λεγε δὴ καὶ
τὴν ἑτέραν μαρτυρίαν,
ἃ Φίλιππος ἀπεκρίνατο
πρὸς Εὐκλείδην τουτονὶ
ἐλθόντα ὕστερον.

Lis encore
l'autre déposition,
à savoir, ce que Philippe répondit
à Euclide ici présent,
qui alla plus tard *vers lui.*

ΜΑΡΤΥΡΙΑ.

DÉPOSITION.

Ἀκούσατε τοίνυν μου
ὅτι οὐδὲ ἄρνησίς
ἐστιν αὐτοῖς
τὸ μὴ πράττειν
ταῦτα ὑπὲρ Φιλίππου.
Ὅτε γὰρ ἀπήρομεν
τὴν προτέραν πρεσβείαν,
τὴν περὶ τῆς εἰρήνης,
ὑμεῖς προαπεστείλατε κήρυκα,
ὅςτις σπείσεται

Or, apprenez de moi
que possibilité-de-nier
n'est pas à eux [fait)
pour dire ne pas faire (n'avoir pas
ces choses pour Philippe.
En effet, lorsque nous partions
pour la première ambassade,
celle concernant la paix,
vous envoyâtes-devant un héraut,
qui fera-trêve

Ὠρεὸν ἦλθον, οὐκ ἀνέμειναν τὸν κήρυκα, οὐδ' ἐποίησαν χρόνον οὐδένα. Ἅλου δὲ πολιορκουμένου διέπλευσαν εἰς τοῦτον. Καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα τὸν πολιορκοῦντα ἐξελθόντες, ἀπῆραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασάς. Καὶ προϊόντες, ἀπήντων ἐν Λαρίσσῃ τῷ κήρυκι[1]. Τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ τότ' ἐχώρουν. Ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν, ἅπασα δὲ ἀσφάλεια ἰέναι, καὶ πρόσταγμα παρ' ὑμῶν σπεύδειν, τηνικαῦτα οὔτ' ἐπείγεσθαι βαδίζουσιν, οὔτε πλεῖν αὐτοῖς ἐπῄει. Τί δή ποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου· νῦν δέ, τὸ ὡς πλεῖστον τὸν μεταξὺ χρόνον διατριφθῆναι πρὸ τοῦ τοὺς ὅρκους ἀπολαβεῖν. Ἀλλὰ μήν, ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, λάβε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

Oréos, les députés, sans attendre le héraut, sans perdre un moment, se rendirent par mer dans Halos, ville assiégée, se dirigèrent de là vers Parménion qui l'attaquait, parvinrent à Pagases à travers l'armée ennemie, et, avançant toujours, ne furent joints qu'à Larisse par le héraut : tant ils mettaient d'ardeur et de précipitation dans leur course ! Et, lorsque la paix était décidée, et la sécurité du voyage entière, lorsque vous ordonniez de se hâter, il ne leur est venu à l'esprit ni d'accélérer leur marche, ni de se mettre en mer ! Pourquoi cette différence ? c'est que l'intérêt de Philippe exigeait, dans le premier cas, la paix la plus expéditive, et dans le second, l'intervalle le plus prolongé entre les stipulations et les serments. — Prends encore la déposition qui attestera ce que j'avance.

ἡμῖν.	pour nous (pour notre passage).
Τότε μὲν τοίνυν, ὡς τάχιστα	Or, à-cette-époque, aussitôt que
ἦλθον εἰς Ὠρεόν,	*les députés* furent arrivés à Oréos,
οὐκ ἀνέμειναν τὸν κήρυκα,	ils n'attendirent pas le héraut,
οὐδὲ ἐποίησαν οὐδένα χρόνον.	et ne firent aucun délai.
Ἅλου δὲ	Mais, *la ville de* Halos
πολιορκουμένου,	étant assiégée,
διέπλευσαν εἰς τοῦτον.	ils entrèrent-par-mer en elle.
Καὶ πάλιν ἐντεῦθεν ἐξελθόντες	Et encore de-là étant sortis
πρὸς Παρμενίωνα	vers Parménion
τὸν πολιορκοῦντα,	qui assiégeait *cette ville*,
ἀπῆραν εἰς Παγασὰς	ils allèrent à Pagases
διὰ τοῦ στρατεύματος πολεμίου.	à-travers l'armée ennemie.
Καὶ προϊόντες,	Et allant-en-avant,
ἀπήντων τῷ κήρυκι	ils rencontrèrent le héraut
ἐν Λαρίσσῃ.	à Larisse.
Τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ	Avec si-grand empressement et zèle
ἐχώρουν τότε.	ils marchaient alors!
Ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν,	Mais lorsque la paix existait,
ἅπασα δὲ ἀσφάλεια	et *qu'il y avait* toute sécurité
ἰέναι,	pour voyager,
καὶ πρόσταγμα παρὰ ὑμῶν	et ordre de vous
σπεύδειν,	de se hâter,
τηνικαῦτα ἐπῄει	alors il *ne* vint à *l'esprit*
αὐτοῖς βαδίζουσιν	d'eux voyageant
οὔτε ἐπείγεσθαι,	ni de se presser,
οὔτε πλεῖν.	ni d'aller-par-mer.
Τί δή ποτε;	Pourquoi donc *cette différence?*
ὅτι τότε μὲν τοῦτο,	parce qu'alors ceci, *savoir,*
τὸ τὴν εἰρήνην γενέσθαι	la paix se-faire
ὡς τάχιστα,	le plus promptement possible,
ἦν ὑπὲρ Φιλίππου·	était de-l'intérêt de Philippe;
νῦν δέ,	mais maintenant,
τὸ ὡς πλεῖστον χρόνον	*c'est que* le plus long temps
τὸν μεταξὺ	dans l'intervalle
διατριφθῆναι	ait été consumé
πρὸ τοῦ ἀπολαβεῖν τοὺς ὅρκους.	avant de recevoir les serments.
Ἀλλὰ μήν, λάβε μοι	D'ailleurs, prends-moi
καὶ ταύτην τὴν μαρτυρίαν	aussi cette déposition *attestant*
ὅτι λέγω καὶ ταῦτα ἀληθῆ.	que je dis encore ces choses vraies

ΜΑΡΤΥΡΙΑ.

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ Φιλίππου πράττοντες ἐξελεγχθεῖεν, ἢ τὴν αὐτὴν ὁδόν, ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει, καθήμενοι, ὅτε δ' οὐδὲ βαδίζειν προςῆκε, πρὶν ἐλθεῖν τὸν κήρυκα, ἐπειγόμενοι;

Ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ καθήμεθ' ἐν Πέλλῃ, σκέψασθε, τί πράττειν ἕκαστος ἡμῶν προείλετο. Ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν, καὶ ζητεῖν, καὶ παρ' ἐμαυτοῦ χρήματ' ἀναλίσκειν, καὶ Φίλιππον ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων, τούτους λύσασθαι. Οὗτος δέ, αὐτίκ' ἀκούσεσθε, τί ποιῶν διετέλεσε. Τί οὖν ἦν τοῦτο, τὸ κοινῇ τὸν Φίλιππον χρήμαθ' ἡμῖν διδόναι; Ἵνα γὰρ μηδὲ τοῦτ' ἀγνοῆτε, ἐκεῖνος ἡμᾶς διεκωδώνιζεν ἅπαντας· τίνα τρόπον; ἑκάστῳ προςπέμπων ἰδίᾳ,

DÉPOSITION.

Dans la même route, s'arrêter quand vous réclamiez toute leur célérité, s'élancer lorsque, pour faire les premiers pas, il convenait d'attendre le héraut : est-il rien qui convainque mieux ces hommes d'avoir été en tout les agents de Philippe?

Ce séjour, ce temps passé à Pella, comment l'avons-nous employé l'un et l'autre? Moi, je cherchais nos captifs, je travaillais à leur rachat, j'y dépensais mon argent, je demandais au prince leur liberté, à la place des dons qu'il nous offrait : fidèle à lui-même, que faisait Eschine? je le dirai tout à l'heure. Mais qu'est-ce que cette offre de présents, faite en commun par Philippe? car c'est un point que vous devez aussi connaître. Philippe, par ses envoyés, sonda

ΜΑΡΤΥΡΙΑ.	DÉPOSITION.
Ἔστιν οὖν ὅπως	Est-il donc comment (possible que)
ἄνθρωποι	des hommes
ἂν ἐξελεγχθεῖεν μᾶλλον	soient convaincus mieux
πράττοντες πάντα	faisant (de faire) tout
ὑπὲρ Φιλίππου,	pour Philippe,
ἢ τὴν αὐτὴν ὁδόν,	que, dans la même route,
καθήμενοι μὲν	étant (être)-restés-oisifs
ἡνίκα ἔδει	lorsqu'il fallait
σπεύδειν ὑπὲρ ὑμῶν,	se hâter pour vous, [traire
ἐπειγόμενοι δὲ	se pressant (s'être pressés) au-con-
ὅτε οὐδὲ προςῆκε	lorsqu'il ne convenait point
βαδίζειν,	de partir,
πρὶν τὸν κήρυκα ἐλθεῖν;	avant que le héraut être (fût) arrivé?
Σκέψασθε τοίνυν τί	Or, examinez quelle chose
ἕκαστος ἡμῶν	chacun de nous
προείλετο πράττειν	entreprit de faire
ὃν χρόνον ἦμεν ἐκεῖ	*pendant* le temps que nous étions là
καὶ καθήμεθα ἐν Πέλλῃ.	et que nous étions-oisifs dans Pella.
Ἐγὼ μὲν τοίνυν ἀνασώζειν	Moi, d'un côté, *j'entrepris* de ra-
τοὺς αἰχμαλώτους,	les prisonniers-de-guerre, [cheter
καὶ ζητεῖν,	et de *les* chercher,
καὶ ἀναλίσκειν χρήματα	et de dépenser de l'argent
παρὰ ἐμαυτοῦ,	de moi-même,
καὶ ἀξιοῦν Φίλιππον	et de demander à Philippe
λύσασθαι τούτους	de délivrer ceux-ci
ξενίων	au-prix-des-présents-d'hospitalité
ὧν ἐδίδου ἡμῖν.	qu'il donnait à nous. [bientôt
Ἀκούσεσθε δὲ αὐτίκα	D'un autre côté, vous apprendrez
τί οὗτος	quelle chose celui-ci (Eschine)
διετέλεσε ποιῶν.	continuait faisant (de faire).
Τί οὖν ἦν τοῦτο,	Mais qu'était-ce que ceci,
τὸ τὸν Φίλιππον διδόναι	*savoir,* Philippe donner
ἡμῖν χρήματα κοινῇ;	à nous des présents en commun?
Ἵνα γὰρ μηδὲ ἀγνοῆτε τοῦτο,	Afin que vous n'ignoriez point cela,
ἐκεῖνος	ce *prince*
διεκωδώνιζεν ἡμᾶς ἅπαντας·	sondait nous tous :
τίνα τρόπον;	de quelle manière?
προςπέμπων ἑκάστῳ	en envoyant-près de chacun

καὶ πολύ γε, ὦ ἄνδρες Ἀθηναῖοι, διδοὺς χρυσίον. Ὡς δ' ἀπετύγχανεν ὁτουδήποτε (οὐ γὰρ ἐμέ γ' εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα καὶ τὰ πεπραγμένα αὐτὰ δηλώσει), τὰ κοινῇ δοθέντα πάντας ἡγεῖτο εὐήθως λήψεσθαι· ἀσφάλειαν οὖν ἔσεσθαι τοῖς ἰδίᾳ πεπρακόσιν ἑαυτούς, εἰ καὶ κατὰ μικρὸν τοῦ κοινῇ λαβεῖν πάντες μετάσχοιμεν. Διὰ ταῦτ' ἐδίδοτο ξένια δὴ πρόφασιν. Ἐπειδὴ δ' ἐκώλυσα ἐγώ, πάλιν προςδιενείμαντο οὗτοι. Τῷ Φιλίππῳ δ', ἐπειδὴ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠξίουν αὐτὸν ἀναλίσκειν ἐγώ, οὔτε κατειπεῖν τούτων εἶχε καλῶς, οὐδ' εἰπεῖν, ὅτι· ἀλλ' ἔχουσιν ὁ δεῖνα καὶ ὁ δεῖνα, οὔτε φυγεῖν τὸ ἀνάλωμα· ὡμολόγησε μὲν δή, διεκρούσατο δέ, εἰς τὰ Παναθήναια φήσας

chacun de nous en particulier, fit briller l'or à nos yeux, offrit beaucoup d'or, ô Athéniens ! Il échoua auprès d'un député (ce n'est pas à moi à me nommer ; les faits lèveront ce voile) : alors il crut que des dons en masse seraient reçus par tous sans défiance, et que la moindre participation à des largesses communes servirait de sauvegarde aux députés vendus. De là, ces dons qui avaient l'hospitalité pour prétexte. Mon refus augmenta la part des autres dans cette nouvelle distribution. Pour Philippe, quand je lui demandais de reporter sa générosité sur les prisonniers, ne pouvant décemment ni dénoncer les députés en répondant que tel et tel avaient reçu, ni paraître craindre la dépense, il éluda ma prière sans la rejeter, et remit ie

ἰδίᾳ,	en particulier,
καὶ διδοὺς πολύ γε χρυσίον,	et donnant même beaucoup d'or,
ὦ ἄνδρες Ἀθηναῖοι.	ô hommes Athéniens.
Ὡς δὲ ἀπετύγχανεν	Or, comme il ne-réussissait-pas
ὁτουδήποτε	auprès d'un-quel-qu'il-fût
(οὐ γὰρ δεῖ ἐμέ γε	(car il ne faut pas *que* moi certes
εἰπεῖν ἐμαυτόν,	je nomme moi-même,
ἀλλὰ τὰ ἔργα	mais les actes
καὶ τὰ πεπραγμένα αὐτὰ	et les événements eux-mêmes
δηλώσει),	*me* montreront-clairement),
ἡγεῖτο	*Philippe* crut
πάντας	*que* tous *les députés*
λήψεσθαι εὐήθως	recevraient bonnement
τὰ δοθέντα κοινῇ·	des choses données en commun;
ἀσφάλειαν οὖν ἔσεσθαι	*que* sécurité ainsi serait acquise
τοῖς πεπρακόσιν ἑαυτοὺς	pour ceux qui avaient vendu eux-mê-
ἰδίᾳ,	individuellement, [mes
εἰ πάντες μετάσχοιμεν	si tous nous participions
τοῦ λαβεῖν κοινῇ	à recevoir en commun
καὶ κατὰ μικρόν.	même pour petite *part.*
Διὰ ταῦτα	Pour cela,
ἐδίδοτο ξένια δὴ	il donnait des présents-d'hospitalité
πρόφασιν.	*comme* prétexte.
Ἐπειδὴ δὲ	Mais, comme
ἐγὼ ἐκώλυσα,	je m'*y* opposai (je refusai),
οὗτοι πάλιν	ceux-ci de nouveau
προςδιενείμαντο.	se-partagèrent-le-surplus.
Ἐπειδὴ δὲ ἐγὼ ἠξίουν	Lors donc que je demandais
αὐτὸν	à lui (à Philippe)
ἀναλίσκειν ταῦτα	de dépenser cela
εἰς τοὺς αἰχμαλώτους,	pour les prisonniers de guerre,
οὔτε εἶχε καλῶς τῷ Φιλίππῳ	il n'eût pas été bien à Philippe
κατειπεῖν τούτων,	de dénoncer ceux-ci (les députés),
οὐδὲ εἰπεῖν ὅτι· ἀλλὰ ὁ δεῖνα	ni de dire que : mais un tel
καὶ ὁ δεῖνα	et un tel
ἔχουσιν,	ont (ont partagé mes dons),
οὔτε φυγεῖν τὸ ἀνάλωμα·	ni d'éviter la dépense;
ὡμολόγησε μὲν δή,	il convint, il est vrai, *d'affranchir,*
διεκρούσατο δέ, φήσας	mais il ajourna, affirmant
ἀποπέμψειν	*qu*'il renverrait *les captifs*

ἀποπέμψειν. Λέγε τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων τῶν παρόντων. Λέγε.

ΜΑΡΤΥΡΙΑΙ.

Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων, εἴπω πρὸς ὑμᾶς. Ἐν ὅσῳ γάρ, οὐχὶ παρόντος πω τοῦ Φιλίππου, διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἑαλωκότων, ὅσοι περ ἦσαν ἐξηγγυημένοι, ἀπιστοῦντες, ὡς ἐμοὶ δοκεῖ, μὴ δυνήσεσθαί με ταῦτα πεῖσαι τὸν Φίλιππον, ἑαυτοὺς ἔφασαν βούλεσθαι λύσασθαι, καὶ μηδεμίαν τούτου χάριν ἔχειν Φιλίππῳ, καὶ ἐδανείζοντο, ὁ μὲν τρεῖς μνᾶς, ὁ δὲ πέντε, ὁ δὲ ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα. Ἐπειδὴ τοίνυν ὡμολόγησεν ὁ Φίλιππος τοὺς λοιποὺς λύσεσθαι, συγκαλέσας ἐγὼ τούτους, οἷς αὐτὸς ἔχρησα τἀργύριον, καὶ τὰ πεπραγμένα ὑπομνήσας, ἵνα μὴ δοκοῖεν ἔλαττον ἔχειν ἐπει-

renvoi des captifs aux Panathénées. — Lis la déposition d'Apollophane, et ensuite celle des autres témoins.

DÉPOSITIONS.

Parlons maintenant des captifs que j'ai moi-même rachetés avant l'arrivée de Philippe, pendant notre séjour à Pella. Quelques-uns, relâchés sous caution, n'espérant pas, je crois, me voir fléchir le prince, me dirent : « Nous aimons mieux nous racheter nous-mêmes, que d'avoir cette obligation au Macédonien. » Ils m'empruntèrent donc, celui-ci trois mines; celui-là cinq; d'autres, une rançon complète. Mais, lorsque Philippe eut promis de renvoyer le reste des prisonniers, rassemblant ceux à qui j'avais prêté, je leur rappelai ce qui s'était passé entre nous; et, pour que des citoyens pauvres, ra-

εἰς τὰ Παναθήναια.
Λέγε τὴν μαρτυρίαν
τὴν Ἀπολλοφάνους, εἶτα
τὴν τῶν ἄλλων τῶν παρόντων.
Λέγε.

aux Panathénées.
Lis la déposition
d'Apollophane, puis
celle des autres *personnes* présentes.
Lis.

ΜΑΡΤΥΡΙΑΙ.

Φέρε δή, εἴπω πρὸς ὑμᾶς
καὶ ὅσους τῶν αἰχμαλώτων
αὐτὸς ἐλυσάμην.
Ἐν ὅσῳ γὰρ
διετρίβομεν ἐν Πέλλῃ,
τοῦ Φιλίππου οὐχί πω παρόντος,
ἔνιοι τῶν ἑαλωκότων,
ὅσοι περ ἦσαν ἐξηγγυημένοι,
ἀπιστοῦντες, ὡς δοκεῖ ἐμοί,
μὲ μὴ δυνήσεσθαι
πεῖσαι ταῦτα
τὸν Φίλιππον,
ἔφασαν βούλεσθαι λύσασθαι
ἑαυτούς,
καὶ ἔχειν Φιλίππῳ
μηδεμίαν χάριν τούτου,
καὶ ἐδανείζοντο,
ὁ μὲν τρεῖς μνᾶς, ὁ δὲ πέντε,
ὁ δὲ ὅπως τὰ λύτρα
συνέβαινεν ἑκάστῳ.
Ἐπειδὴ τοίνυν ὁ Φίλιππος
ὡμολόγησε
λύσεσθαι τοὺς λοιπούς,
ἐγὼ συγκαλέσας τούτους
οἷς αὐτὸς ἔχρησα
τὸ ἀργύριον,
καὶ ὑπομνήσας τὰ πεπραγμένα,
ἔδωκα δωρεὰν
τὰ λύτρα,
ἵνα ἄνθρωποι πένητες
μὴ δοκοῖεν
ἔχειν ἔλαττον
ἐπειχθέντες,

DÉPOSITIONS.

Allons, que je dise à vous
aussi combien de captifs
moi-même je rachetai.
Donc pendant que
nous passions-le-temps à Pella,
Philippe n'étant pas encore présent,
quelques-uns des captifs,
qui étaient relâchés-sous-caution,
désespérant, comme il semble à moi,
que je ne pourrais point
persuader cela (leur renvoi)
à Philippe,
dirent vouloir s'affranchir
eux-mêmes,
et *n'*avoir à Philippe
aucune obligation de cela,
et *m'*empruntèrent,
celui-ci trois mines, celui-là cinq,
celui-là selon que les rançons
se trouvaient *fixées* à chacun.
Après donc que Philippe
eut promis
d'affranchir les autres,
moi, ayant convoqué ceux
à qui moi-même je prêtai
de l'argent,
et *leur* ayant rappelé les faits,
je *leur* donnai *en* présent
leurs rançons,
afin que *ces* hommes pauvres
ne crussent pas
avoir moins (être moins bien traités)
s'étant hâtés,

χθέντες, μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου προσδοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρεὰν τὰ λύτρα. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Ἐξετάσωμεν δὴ πρὸς τὸ τοῦ Σατύρου τοῦτο συμπόσιον, ἕτερον συμπόσιον, τούτων ἐν Μακεδονίᾳ γενόμενον. Καὶ θεάσασθε, εἰ παραπλήσιον τούτῳ, καὶ ὅμοιον. Κληθέντες γὰρ οὗτοι πρὸς Ξενόφρονα, τὸν υἱὸν τὸν Φαιδίμου, τοῦ τῶν Τριάκοντα[1], ᾤχοντο. Ἐγὼ δὲ οὐκ ἐπορεύθην. Ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν, εἰςάγει τινὰ Ὀλυνθίαν γυναῖκα, εὐπρεπῆ μέν, ἐλευθέραν δὲ καὶ σώφρονα, ὡς τὸ τέλος ἐδήλωσε. Ταύτην τὸ μὲν πρῶτον οὑτωσὶ πίνειν ἠνάγκαζον ἡσυχῇ, καὶ τρώγειν οὗτοι, μοὶ δοκεῖν, ὡς διηγεῖτο Ἰατροκλῆς ἐμοὶ τῇ ὑστεραίᾳ. Ὡς δὲ προήει τὸ πρᾶγμα,

roles excitèrent parmi tous les convives de si grands applaudissements, de si vives acclamations, que Philippe ému accorda la demande, bien que cet Apollophane eût été l'un des meurtriers d'Alexandre, son frère.

A la conduite que tint Satyros dans ce festin, comparons celle de vos députés dans un autre repas donné en Macédoine, et voyez si elles se ressemblent. Invités chez Xénophron, fils de Phédimos, un des Trente, ils s'y rendirent; moi, je n'y allai point. Quand on en vint à boire, Xénophron fit entrer une Olynthienne d'une grande beauté, mais noble et pudique, comme la fin le montra. D'abord ces hommes la pressaient doucement de boire et de goûter quelques friandises, ainsi qu'Iatroclès me le raconta le lendemain. Mais, le vin échauffant

Ὡς δὲ τοὺς παρόντας
ἐν τῷ συμποσίῳ
ἀκοῦσαι,
κρότον καὶ θόρυβον
καὶ ἔπαινον γενέσθαι
τοσοῦτον παρὰ πάντων,
ὥςτε τὸν Φίλιππον
παθεῖν τι,
καὶ δοῦναι.
Καίτοι οὗτος ὁ Ἀπολλοφάνης
ἦν τῶν ἀποκτεινάντων
Ἀλέξανδρον,
τὸν ἀδελφὸν τὸν Φιλίππου.
Ἐξετάσωμεν δὴ
πρὸς τοῦτο συμπόσιον
τὸ τοῦ Σατύρου,
ἕτερον συμπόσιον τούτων,
γενόμενον ἐν Μακεδονίᾳ.
Καὶ θεάσασθε
εἰ παραπλήσιον
καὶ ὅμοιον τούτῳ.
Οὗτοι γὰρ κληθέντες
πρὸς Ξενόφρονα,
τὸν υἱὸν τὸν Φαιδίμου,
τοῦ τῶν Τριάκοντα, ᾤχοντο.
Ἐγὼ δὲ οὐκ ἐπορεύθην.
Ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν,
εἰςάγει
τινὰ γυναῖκα Ὀλυνθίαν,
εὐπρεπῆ μέν,
ἐλευθέραν δὲ
καὶ σώφρονα,
ὡς τὸ τέλος ἐδήλωσε.
Τὸ μὲν πρῶτον οὗτοι
ἠνάγκαζον ἡσυχῇ ταύτην
πίνειν οὑτωσὶ
καὶ τρώγειν,
μοὶ δοκεῖν,
ὡς Ἰατροκλῆς διηγεῖτο ἐμοὶ
τῇ ὑστεραίᾳ.

On dit que, quand ceux qui assis-
au banquet [taient
eurent entendu *ces paroles*,
applaudissement et bruit
et éloge eurent lieu,
tels de la part de tous,
que Philippe [*émotion*,
avoir éprouvé (éprouva) quelque
et avoir donné (donna) *ces filles*.
Pourtant cet Apollophane
était *un* de ceux qui avaient tué
Alexandre,
le frère de Philippe.
Examinons donc
en-comparaison-de ce banquet
de Satyros,
un autre banquet de ces *députés*,
qui eut lieu en Macédoine.
Et considérez
s'*il est* approchant *de l'autre*
et semblable à celui-là.
Ces *hommes* ayant été invités
chez Xénophron,
fils de Phædimos,
l'un des Trente, *y* allèrent.
Moi, je ne m'*y* rendis pas.
Lorsqu'ils *en* vinrent au boire,
Xénophron introduit
une femme Olynthienne,
belle, il est vrai,
mais honnêtement-élevée
et modeste,
comme la fin *le* montra.
Au commencement ces *hommes*
pressèrent doucement elle
de boire ainsi *qu'eux*
et de manger-des-friandises,
à moi paraître (ainsi qu'il me paraît),
comme Iatroclès *le* racontait à moi
le lendemain.

καὶ διεθερμαίνοντο, κατακλίνεσθαι, καί τι καὶ ᾄδειν ἐκέλευον. Ἀδημονούσης δὲ τῆς ἀνθρώπου, καὶ οὔτ' ἐθελούσης, οὔτ' ἐπισταμένης, ὕβριν τὸ πρᾶγμα ἔφασαν ουτοσί, καὶ ὁ Φρύνων, καὶ οὐκ ἀνεκτὸν εἶναι, τῶν θεοῖς ἐχθρῶν, τῶν ἀλιτηρίων Ὀλυνθίων αἰχμάλωτον οὖσαν, τρυφᾶν. Καί· «Κάλει παῖδα,» καί· «Ἱμάντα τις φερέτω.» Ἧκεν οἰκέτης ἔχων ῥυτῆρα, καὶ πεπωκότων, οἶμαι, καὶ μικρῶν ὄντων τῶν παροξυνόντων, εἰπούσης τι, καὶ διακρουσάσης ἐκείνης, περιῤῥήξας τὸν χιτωνίσκον ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς. Ἔξω δ' αὑτῆς οὖσα ὑπὸ τοῦ κακοῦ καὶ τοῦ πράγματος ἡ γυνή, ἀναπηδήσασα, προςπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ, καὶ τὴν τράπεζαν ἀνατρέπει· καὶ εἰ μὴ ἐκεῖνος ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη. Καὶ γὰρ ἡ παροινία τοῦ καθάρματος τουτουῒ δεινή. Καὶ περὶ ταύτης τῆς ἀνθρώ-

par degrés leur audace, ils lui ordonnent de se mettre à table et de chanter. Cette femme, qui ne voulait ni ne savait chanter, s'en défend avec trouble. Eschine et Phrynon déclarent que ce refus est une insulte, et qu'ils ne sauraient souffrir qu'une captive née chez un peuple réprouvé du ciel, chez les exécrables Olynthiens, fasse la fière. « Qu'on appelle un esclave! qu'on apporte un fouet! » Le serviteur vient, armé de lanières; et, par l'ordre des buveurs, trop faciles à irriter, malgré les plaintes et les larmes de l'infortunée, il déchire, il arrache sa tunique, et sillonne son dos à coups redoublés. En proie à ce cruel traitement, la femme s'élance éperdue, renverse la table, tombe aux genoux d'Iatroclès; et, si celui-ci ne la leur eût arrachée, elle aurait péri dans cette orgie; car l'ivresse de ce misérable est

Ὡς δὲ τὸ πρᾶγμα προήει,	Comme la chose avançait,
καὶ διεθερμαίνοντο,	et que *les convives* s'échauffaient,
ἐκέλευον	ils *lui* ordonnèrent
κατακλίνεσθαι,	de se-mettre-à-table,
καὶ ᾄδειν καί τι.	et de chanter même quelque chose.
Τῆς δὲ ἀνθρώπου ἀδημονούσης,	La femme étant tourmentée,
καὶ οὔτε ἐθελούσης	et ni ne voulant
οὔτε ἐπισταμένης,	ni ne sachant *chanter,*
οὑτοσὶ καὶ ὁ Φρύνων	celui-ci et Phrynon [sulte,
ἔφασαν τὸ πρᾶγμα εἶναι ὕβριν,	dirent *que* son action était une in-
καὶ οὐκ ἀνεκτὸν	et *qu'il* n'*était* pas supportable
τρυφᾶν,	*qu'*elle fît-la-fière,
οὖσαν αἰχμάλωτον	étant une captive
Ὀλυνθίων	*du pays* des Olynthiens,
τῶν ἀλιτηρίων,	*de ces hommes* exécrables,
τῶν ἐχθρῶν θεοῖς.	ennemis aux (des) dieux.
Καί· « Κάλει παῖδα, »	Et *ils dirent :* « Appelle l'esclave, »
καί· « Τὶς φερέτω ἱμάντα. »	et : « Qu'on apporte un fouet. »
Οἰκέτης ἧκεν, ἔχων ῥυτῆρα,	Le serviteur vint, ayant des lanières ;
καὶ πεπωκότων, οἶμαι,	et, *eux* ayant bu, je crois,
καὶ μικρῶν ὄντων	et de petites choses étant (suffisant)
τῶν παροξυνόντων,	qui *les* irritaient (à les irriter),
ἐκείνης εἰπούσης τι	cette femme disant quelques *plain-*
καὶ διακρουσάσης,	et ayant résisté, [*tes*
ὁ οἰκέτης	le serviteur [que,
περιῤῥήξας τὸν χιτωνίσκον,	ayant déchiré-tout-autour *sa* tuni-
ξαίνει πολλὰς	cingle beaucoup *de coups*
κατὰ τοῦ νώτου.	sur son épaule.
Ἡ δὲ γυνὴ	La femme
οὖσα ἔξω αὑτῆς	étant *mise* hors d'elle-même
ὑπὸ τοῦ κακοῦ	par la douleur
καὶ τοῦ πράγματος,	et par ce traitement,
ἀναπηδήσασα, προσπίπτει	s'élançant, vient-tomber
πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ,	près des genoux d'Iatroclès,
καὶ ἀνατρέπει τὴν τράπεζαν·	et renverse la table ;
καί, εἰ ἐκεῖνος μὴ ἀφείλετο,	et, si celui-ci ne *la leur* eût arrachée,
ἀπώλετο ἂν παροινουμένη.	elle aurait péri victime-d'une-orgie.
Καὶ γὰρ ἡ παροινία	Car l'ivresse
τουτουῒ τοῦ καθάρματος	de ce misérable
δεινή.	*est* terrible.

που, καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς Μυρίοις. Καὶ Διόφαντος ἐν ὑμῖν ἀπήγγειλεν, ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος, καὶ πανταχοῦ.

Καὶ τοιαῦτα συνειδὼς ἑαυτῷ πεπραγμένα ὁ ἀκάθαρτος οὑτοσί, τολμήσει βλέπειν εἰς ὑμᾶς; καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλ' ἐρεῖ λαμπρᾷ τῇ φωνῇ; ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι. Οὐχ ἴσασιν οὗτοι, τὸ μὲν ἐξαρχῆς τὰς βίβλους ἀναγιγνώσκοντά σε τῇ μητρὶ τελούσῃ[1], καὶ παῖδα ὄντα, ἐν θιάσοις και μεθύουσιν ἀνθρώποις καλινδούμενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμματεύοντα, καὶ δυοῖν ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; τὰ τελευταῖα δ' ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον; Ποῖον οὖν ἐρεῖς βίον, ὃν οὐ βεβίωκας; ἐπεὶ ὅ γε βεβιωμένος σοι τοιοῦτος ὢν φαίνεται.

terrible. On redisait ce fait dans l'assemblée des Dix-Mille, en Arcadie; Diophante, dont j'invoquerai ici le témoignage, vous l'a rapporté; on en parlait beaucoup en Thessalie, et partout.

La conscience chargée de telles horreurs, cet infâme osera vous regarder en face, et, d'une voix retentissante, il viendra bientôt nous vanter sa vie! Ah! tant d'audace me confond! Tes juges ignorent-ils donc que tu as débuté par lire à ta mère ses formules d'initiation; qu'encore enfant, tu te vautrais parmi les ivrognes et les bacchantes; qu'ensuite, greffier subalterne, tu as, pour deux ou trois drachmes, trahi ton ministère; qu'enfin naguère encore tu jouais, aux frais d'autrui, les troisièmes rôles, trop heureux de gagner ainsi son pain? La voila, ta vie; elle est connue: celle que tu décriras,

Καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν
ἐν τοῖς Μυρίοις
περὶ ταύτης τῆς ἀνθρώπου.
Καὶ Διόφαντος ἀπήγγειλεν
ἐν ὑμῖν,
ἃ ἀναγκάσω αὐτὸν
νῦν μαρτυρεῖν·
καὶ πολὺς λόγος
κατὰ Θετταλίαν, καὶ πανταχοῦ.
Καὶ οὑτοσὶ ὁ ἀκάθαρτος
συνειδὼς ἑαυτῷ
τοιαῦτα πεπραγμένα,
τολμήσει βλέπειν εἰς ὑμᾶς;
καὶ αὐτίκα δὴ μάλα ἐρεῖ
τῇ φωνῇ λαμπρᾷ
τὸν βίον βεβιωμένον αὐτῷ;
ἐπὶ οἷς
ἔγωγε ἀποπνίγομαι.
Οὗτοι οὐκ ἴσασί
σε τὸ μὲν ἐξ ἀρχῆς
ἀναγιγνώσκοντα
τὰς βίβλους
τῇ μητρὶ τελούσῃ,
καὶ ὄντα παῖδα,
καλινδούμενον
ἐν θιάσοις
καὶ ἀνθρώποις μεθύουσι;
μετὰ ταῦτα δὲ
ὑπογραμματεύοντα
ταῖς ἀρχαῖς,
καὶ ὄντα πονηρὸν
δυοῖν ἢ τριῶν δραχμῶν;
τὰ τελευταῖα δὲ ἔναγχος
παρατρεφόμενον ἀγαπητῶς
ἐπὶ τῷ τριταγωνιστεῖν
ἐν χορηγίοις ἀλλοτρίοις;
Ποῖον οὖν βίον
ἐρεῖς,
ὃν οὐ βεβίωκας;
ἐπεὶ ὅ γε βεβιωμένος σοι

Et en Arcadie propos était (on parlait)
dans *l'assemblée des* Dix-Mille
de cette femme.
Et Diophante rapporta
parmi vous
des détails que je forcerai lui
maintenant d'attester ; [*là-dessus*
et beaucoup de conversations *étaient*
en Thessalie, et partout.
Et cet *homme* impur
ayant-conscience en lui-même
de telles *actions* faites *par lui,*
osera élever-ses-regards sur vous !
et très-prochainement il dira
d'une voix brillante
la vie vécue par lui !
par quoi *tion.*
je suis certes suffoqué *d'indigna-*
Ceux-ci (les juges) ne savent-ils pas
toi dans le commencement *de ta vie*
lisant (que tu lisais)
les livres *mystiques*
à *ta* mère qui-faisait-des-initiations ;
et *qu'*étant enfant
tu te roulais
parmi les troupes-de-bacchantes
et les hommes ivres ?
*qu'*après cela
tu étais-sous-greffier
des magistrats,
et *que* tu fus corrompu
pour deux ou trois drachmes ?
et *que* finalement, en-dernier-lieu,
tu gagnais-ta-vie avec-joie
à jouer-les-troisièmes-rôles
aux dépens d'autrui ?
Quelle *est* donc *cette* vie
que tu exposeras,
dont tu n'as pas vécu?
puisque celle qui a été vécue par toi

Ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας! οὗτος ἄλλον ἔκρινε παρ' ὑμῖν ἐπὶ πορνείᾳ. Ἀλλὰ μήπω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ.

Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικασταί, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται (ἐν οἷς τί κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος[1], ψεύστης, τῶν φίλων προδότης, πάντα ἔνεστι τὰ δεινότατα), πρὸς ἓν οὐδοτιοῦν τούτων ἀπολογήσεται, οὐδ' ἕξει δικαίαν, οὐδ' ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν. Ἃ δ' ἐγὼ πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας. Οὐ μὴν ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλο εἰπεῖν ἀνάγκη πάντα μηχανᾶσθαι. Ἀκούω γὰρ αὐτὸν ἐρεῖν, ὡς ἄρα ἐγὼ πάντων, ὧν κατηγορῶ, κοινωνὸς γέγονα, καὶ συνήρεσκε ταῦτά μοι, καὶ συνέπραττον αὐτῷ· ἔπειτα ἐξαίφνης μεταβέβλημαι, καὶ κατηγορῶ. Ἔστι δὲ ὑπὲρ μὲν τῶν πεπραγμένων, οὔτε δικαία, οὔτε προσήκουσα ἡ τοιαύτη ἀπολογία. Ἐμοῦ μέντοι τις

qu'est-ce, sinon une imposture? O licence effrénée! voilà l'homme qui en a cité un autre devant vous pour ses désordres! Mais n'anticipons point. Lis les dépositions que j'ai annoncées.

DÉPOSITIONS.

Convaincu, ô juges, de prévarications aussi graves et aussi nombreuses, qui renferment tous les crimes ensemble, vénalité, basse adulation, imprécations que vous lui renverrez, imposture, traîtrise, tout ce qu'il y a de plus hideux, Eschine ne pourra se justifier sur aucun grief, ni produire une seule défense droite et sensée. Celle dont j'ai appris qu'il doit faire usage est très-voisine de la folie: qu'importe? à défaut de solides raisons, nécessité met tout en jeu. Il dira donc, on m'en a prévenu, qu'après avoir trempé dans tous les crimes que je poursuis, approuvé tous ses projets, secondé toutes ses démarches, de complice je me suis soudain transformé en accusateur. Devant l équité et les convenances, ce n'est pas là justi-

φαίνεται ὢν τοιοῦτος.
Ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας!
οὗτος ἔκρινεν ἄλλον
παρὰ ὑμῖν ἐπὶ πορνείᾳ.
Ἀλλὰ μήπω ταῦτα,
ἀλλὰ λέγε μοι πρῶτον
τὰς μαρτυρίας ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ.

Ὦ ἄνδρες δικασταί,
ὧν ἐξελήλεγκται
ἀδικῶν ὑμᾶς
ὄντων τοίνυν
τοσούτων καὶ τοιούτων
(ἐν οἷς τί κακὸν οὐκ ἔνι;
δωροδόκος, κόλαξ,
ἔνοχος ταῖς ἀραῖς,
ψεύστης, προδότης τῶν φίλων,
πάντα τὰ δεινότατα ἔνεστιν),
ἀπολογήσεται
πρὸς ἓν οὐδοτιοῦν τούτων,
οὐδὲ ἕξει εἰπεῖν
οὐδεμίαν ἀπολογίαν
δικαίαν οὐδὲ ἁπλῆν.
Ἃ δὲ ἐγὼ πέπυσμαι
αὐτὸν μέλλειν λέγειν,
ἔστι μὲν ἐγγυτάτω μανίας.
Οὐ μὴν ἀλλὰ μηχανᾶσθαι πάντα
ἀνάγκη ἴσως τῷ ἔχοντι εἰπεῖν
μηδὲν ἄλλο δίκαιον.
Ἀκούω γὰρ αὐτὸν ἐρεῖν
ὡς ἄρα ἐγὼ γέγονα κοινωνὸς
πάντων ὧν κατηγορῶ,
καὶ ταῦτα
συνήρεσκέ μοι,
καὶ συνέπραττον αὐτῷ·
ἔπειτα μεταβέβλημαι ἐξαίφνης,
καὶ κατηγορῶ.
Ἡ δὲ ἀπολογία
τοιαύτη

paraît-évidemment étant telle.
Mais, *excès* de licence!
cet *homme en* faisait-juger un autre
près de vous pour mauvaises-mœurs.
Cependant ne *parlons* pas encore *de*
mais lis-moi auparavant [cela,
ces témoignages-ci.

DÉPOSITIONS.

O hommes juges!
les faits dont *Eschine* a été convaincu
étant (d'être)-coupable envers vous
étant donc
si-nombreux et si-graves
(dans lesquels quel mal n'est pas?
acceptant-des-présents, flatteur,
objet d'imprécations,
menteur, traître à ses amis,
tous les *crimes* les plus révoltants y-
il *ne* se justifiera [sont),
sur aucun d'eux,
ni ne pourra dire
aucune apologie
juste ni simple.
Mais ce que j'ai appris
qu'il doit-bientôt dire,
est très-près de la démence.
N'importe, mettre-en-jeu tout
est nécessité peut-être pour qui n'a
aucune autre *raison* juste. [à dire
J'apprends en effet *qu*'il dira
que moi j'ai été complice
de tous *les crimes* que je dénonce,
et *que* ces *actions*
étaient-approuvées de moi,
et *que* j'agissais-avec lui-même;
qu'ensuite j'ai changé soudainement,
et *que* j'accuse.
Or, sa justification
telle (ainsi faite)

κατηγορία. Ἐγὼ μὲν γάρ, εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμι ἄνθρωπος· τὰ δὲ πράγματα οὐδὲν βελτίω διὰ τοῦτο· οὐδὲ πολλοῦ δεῖ. Οὐ μὴν ἀλλ' ἔγωγ' οἴομαί μοι προσήκειν ἀμφότερα ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτ' ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογία. Ἡ μὲν τοίνυν δικαία, καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα, δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει. Τούτων δ' οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι. Οὔτε γὰρ ὡς συμφέρει δήπου Φωκέας ἀπολωλέναι, καὶ Πύλας Φίλιππον ἔχειν, καὶ Θηβαίους ἰσχύειν, καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι, καὶ Μεγάροις ἐπιβουλεύειν, καὶ ἀνώμοτον εἶναι τὴν εἰρήνην, ἔνεστι λέγειν αὐτῷ, οἷς τότε τἀναντί' ἀπήγγειλε πρὸς ὑμᾶς, ὡς συμφέροντα καὶ γενησόμενα· οὔθ' ὡς οὐ πέπρακται

fier sa conduite, c'est accuser la mienne. Si j'ai suivi son exemple, je suis un méchant homme; mais lui, en est-il plus innocent? Oh! non. Je crois cependant devoir établir deux choses : le mensonge de l'accusé, s'il tient ce langage; la voie que la justice trace à son apologie. L'équité, la droiture veulent qu'il montre dans l'accusation, ou des faits controuvés, ou des faits utiles à la République : or, il ne saurait avancer ni l'un ni l'autre. Non, les Phocidiens détruits, les Thébains fortifiés, Philippe maître des Thermopyles, ses troupes occupant l'Eubée et entreprenant sur Mégare une paix sans ratifications, ne peuvent être présentés comme des événements heureux par celui-là même qui vous annonça jadis le contraire comme avantageux

ὑπὲρ μὲν τῶν πεπραγμένων	concernant ses actions
ἔστιν οὔτε δικαία	n'est ni juste
οὔτε προςήκουσα.	ni pertinente.
Τὶς μέντοι κατηγορία	Mais *c'est* une certaine accusation
ἐμοῦ.	contre moi.
Ἐγὼ μὲν γάρ,	Moi, en effet,
εἰ πεποίηκα ταῦτα,	si j'ai fait cela,
εἰμὶ ἄνθρωπος φαῦλος·	je suis homme méchant;
τὰ δὲ πράγματα	mais les faits
οὐδὲν βελτίω διὰ τοῦτο·	*ne sont* en rien meilleurs pour cela:
οὐδὲ δεῖ	il ne s'en faut pas *seulement*
πολλοῦ.	de beaucoup, *mais de tout.*
Οὐ μὴν ἀλλὰ ἔγωγε οἴομαι	Donc, pour moi, je crois
προςήκειν μοι ἐπιδεῖξαι ὑμῖν	*qu'*il convient à moi de montrer à vous
ἀμφότερα,	deux choses,
καὶ ὅτι ψεύσεται,	et qu'il mentira,
ἐὰν λέγῃ ταῦτα,	si-toutefois il dit cela,
καὶ τὴν δικαίαν	et l'*apologie* juste [consiste)
ἥτις ἐστὶν ἀπολογία.	quelle est *cette* apologie (en quoi elle
Ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ,	Or, l'*apologie* juste et simple,
δεῖξαι,	*c'est de* prouver
ἢ ὡς τὰ κατηγορημένα	ou que les faits-de-l'accusation
οὐ πέπρακται,	n'ont pas été commis,
ἢ ὡς πεπραγμένα	ou que, commis,
συμφέρει τῇ πόλει.	ils sont-favorables à la République.
Οὗτος δὲ δύναιτο ἂν ποιῆσαι	Mais cet *homme ne* pourrait faire
οὐδέτερον τούτων.	ni-l'une-ni-l'autre de ces choses.
Οὔτε γὰρ ἔνεστιν αὐτῷ λέγειν	Car il n'est-pas-en lui de dire
ὡς συμφέρει δήπου	qu'il est-favorable certainement
Φωκέας ἀπολωλέναι,	*que* les Phocidiens soient détruits,
καὶ Φίλιππον	et *que* Philippe
ἔχειν Πύλας,	possède les Thermopyles, [sants,
καὶ Θηβαίους ἰσχύειν,	et *que* les Thébains soient-puis-
καὶ στρατιώτας	et *que* des soldats
εἶναι ἐν Εὐβοίᾳ,	soient en Eubée,
καὶ ἐπιβουλεύειν Μεγάροις,	et *qu'*ils attentent sur Mégare,
καὶ τὴν εἰρήνην εἶναι ἀνώμοτον·	et *que* la paix soit non-jurée
οἷς ἀπήγγειλε τότε	*faits* dont il annonça alors
τὰ ἐναντία πρὸς ὑμᾶς,	les contraires à vous,
ὡς συμφέροντα	comme favorables

ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑωρακότας ὑμᾶς, καὶ εὖ εἰδότας. Οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις μηδενός, λοιπόν μοι δεῖξαι.

Βούλεσθε οὖν, ὑμῖν, πάντα τἄλλα ἀφείς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδημίᾳ προσέκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παράσχωμαι μάρτυρας τουτουσί, ὡς πάντα τἀναντία ἐμοὶ καὶ τούτοις πέπρακται; καὶ χρήματα οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή. Τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι, καὶ πλείστης ὀλιγωρίας καὶ ἀναιδείας μεστόν; οὐδείς, οὐδ' ἂν ἁμαρτών, ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἄν, ἢ Φιλοκράτην. Τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ τι βούλοιτο, λαμπρᾷ τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί. Τίνα δ' οὗτοι μὲν

et prochain ; non, il ne convaincra point de la nullité de ces faits vous qui les connaissez trop bien, vous qui les avez vu s'accomplir. Reste donc à montrer que je n'y eus aucune part.

Voulez-vous que, supprimant tout le reste, et mon opposition auprès de vous, et mes attaques durant le voyage, et mes luttes continuelles, je vous prouve, par le témoignage de mes collègues, que ma conduite contrasta toujours avec la leur, qu'ils ont reçu de l'argent pour vous nuire, et que j'en ai refusé? écoutez. Quel est, à votre avis, l'Athénien le plus pervers, le plus insouciant du devoir, le plus déhonté? Tous, même en cherchant un autre nom, vous désignerez, j'en suis sûr, Philocrate. Quel est l'orateur dont l'organe répond le plus énergiquement à sa volonté, dont la voix est la plus claire, la plus sonore? c'est lui, c'est Eschine. Quel est celui auquel

καὶ γενησόμενα·
οὔτε δυνήσεται πεῖσαι
ὡς ταῦτα οὐ πέπρακται
ὑμᾶς τοὺς αὐτοὺς ἑωρακότας
καὶ εὖ εἰδότας.
Οὐκοῦν λοιπόν μοι
δεῖξαι ὡς οὐ κεκοινώνηκα
μηδενὸς τούτοις.
Βούλεσθε οὖν,
ἀφεὶς πάντα τὰ ἄλλα
ἃ ἀντεῖπον παρὰ ὑμῖν,
ἃ προςέκρουον
ἐν τῇ ἀποδημίᾳ,
ὡς ἠναντίωμαι
ἅπαντα τὸν χρόνον,
παράσχωμαι τουτουσὶ αὐτοὺς
ὑμῖν μάρτυρας
ὡς πάντα τὰ ἐναντία
πέπρακται ἐμοὶ καὶ τούτοις;
καὶ οὗτοι μὲν ἔχουσι χρήματα
ἐπὶ ὑμῖν,
ἐγὼ δὲ οὐκ ἠθέλησα
λαβεῖν;
θεάσασθε δή.
Τίνα τῶν ἐν τῇ πόλει
φήσαιτε ἂν εἶναι βδελυρώτατον,
καὶ μεστὸν
πλείστης ὀλιγωρίας
καὶ ἀναιδείας;
εὖ οἶδα ὅτι οὐδεὶς ὑμῶν,
οὐδὲ ἂν ἁμαρτών,
φήσειεν ἂν ἄλλον
ἢ Φιλοκράτην.
Τίνα δὲ φθέγγεσθαι
μέγιστον ἁπάντων,
καὶ εἰπεῖν ἂν
σαφέστατα ὅ τι βούλοιτο
τῇ φωνῇ λαμπρᾷ;
οἶδα ὅτι
Αἰσχίνην τουτονί.

et devant-avoir-lieu;
ni il ne pourra persuader
que cela n'a pas été accompli
à vous-mêmes qui *l'*avez vu
et bien *le* savez.
Donc, *il est* restant à moi
de montrer que je n'ai participé
à aucun *crime* avec eux.
Voulez-vous donc
que, laissant tout le reste,
les choses que je niais près de vous,
celles pour lesquelles je *les* contre-
dans le voyage, [carrais
combien je m'opposai *à eux*
en tout temps,
je présente ces *députés* mêmes
à vous *comme* témoins
que toutes choses opposées
ont été faites par moi et par eux?
que ces *hommes* ont *reçu* de l'argent
contre vous (pour vous nuire),
et que je n'ai pas voulu
en recevoir?
examinez donc *ceci*.
Lequel de ceux *qui sont* dans la ville
diriez-vous être le plus dépravé,
et rempli
de plus de mépris-du-devoir,
et d'impudence?
je sais bien que nul de vous, [gue,
pas même en laissant-errer-sa-lan-
ne désignerait un autre
que Philocrate.
Lequel *diriez-vous* parler
le plus fort de tous,
et exprimer [voudrait
de-la-manière-la-plus-sonore ce qu'il
avec une voix claire?
je sais que *vous désigneriez*
Eschine ici-présent.

ἄτολμον, καὶ δειλὸν πρὸς τοὺς ὄχλους φασὶν εἶναι, ἐγὼ δ' εὐλαβῆ; ἐμέ. Οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα, οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι. Οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λόγος γέγονε περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου, καὶ ἐλέγχοντος ἀεὶ τουτουσί, καὶ λέγοντος ἄντικρυς, ὅτι χρήματα εἰλήφασι, καὶ πάντα τὰ πράγματα πεπράκασι τῆς πόλεως. Καὶ τούτων οὐδεὶς πώποτ', ἀκούων ταῦτα, ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, ἀλλ' οὐδ' ἔδειξεν ἑαυτόν. Τί ποτ' οὖν ἐστὶ τὸ αἴτιον, ὅτι οἱ βδελυρώτατοι πάντων τῶν ἐν τῇ πόλει, καὶ μέγιστον φθεγγόμενοι, τοῦ καὶ ἀτολμοτάτου πάντων ἐμοῦ, καὶ οὐδὲν οὐδενὸς μεῖζον φθεγγομένου, τοσοῦτον ἡττῶνται; ὅτι τἀληθὲς ἰσχυρόν ἐστι, καὶ τοὐναντίον ἀσθενὲς τὸ συνειδέναι πεπρακόσιν ἑαυτοῖς τὰ πράγματα. Τοῦτο παραιρεῖται τὴν θρασύτητα τὴν τούτων,

ils reprochent le défaut de hardiesse devant la multitude, et une timidité que j'appelle pudeur? c'est moi. En effet, de ma part, jamais d'importunités fatigantes, jamais de violences de tribune. Cependant, toutes les fois que, dans les assemblées populaires, il fut question de l'ambassade des serments, vous m'entendîtes toujours accuser, toujours convaincre les députés, toujours leur dire en face : « Vous avez reçu de l'or, vous avez vendu la patrie. » Aucun d'eux ne combattit mes reproches, aucun ne prit la parole, aucun ne se présenta. Eh quoi! les citoyens au front le plus endurci, aux poumons les plus puissants, se taisent devant Démosthène, de tous les orateurs le plus timide, le moins recommandable par sa voix! Où en est la cause? Elle est dans la force de la vérité, dans la faiblesse inséparable du remords des traîtres. Oui, le remords brise

Τίνα δὲ οὗτοι μὲν φασὶν εἶναι ἄτολμον,	Lequel ces *hommes* disent-ils être sans-hardiesse,
καὶ δειλὸν πρὸς τοὺς ὄχλους,	et timide près de la foule,
ἐγὼ δὲ εὐλαβῆ;	et *lequel dis*-je *être* circonspect?
ἐμέ.	moi.
Οὐδὲν γὰρ πώποτε	Car en rien jamais
οὔτε ἠνώχλησα,	je ne *vous* importunai,
οὔτε βεβίασμαι ὑμᾶς	ni ne fis-violence à vous
μὴ βουλομένους.	ne *le* voulant pas.
Οὐκοῦν	Eh bien!
ἐν πάσαις ταῖς ἐκκλησίαις,	dans toutes les assemblées,
ὁσάκις λόγος	chaque-fois-que le discours
γέγονε περὶ τούτων,	fut sur ces *faits*,
ἀκούετέ μου	vous entendez moi
καὶ κατηγοροῦντος,	et accusant,
καὶ ἐλέγχοντος ἀεὶ τουτουσί,	et convainquant toujours ces *hommes*,
καὶ λέγοντος ἄντικρυς	et disant formellement
ὅτι εἰλήφασι χρήματα,	qu'ils ont reçu des présents,
καὶ πεπράκασι	et *qu*'ils ont vendu
πάντα τὰ πράγματα	tous les intérêts
τῆς πόλεως.	de la République.
Καὶ πώποτε οὐδεὶς τούτων,	Et jamais aucun d'eux,
ἀκούων ταῦτα,	entendant cela,
ἀντεῖπεν,	*ne* contredit,
οὐδὲ διῆρε τὸ στόμα,	ni ouvrit la bouche,
ἀλλὰ οὐδὲ ἔδειξεν ἑαυτόν.	mais même ne se montra.
Τί ποτε οὖν ἐστὶ τὸ αἴτιον	Quelle est donc la cause
ὅτι οἱ βδελυρώτατοι	que les plus pervers
πάντων τῶν ἐν τῇ πόλει,	de tous ceux *qui sont* dans la ville,
καὶ φθεγγόμενοι μέγιστον	et *que* ceux qui parlent le-plus-haut
ἡττῶνται τοσοῦτον ἐμοῦ	sont vaincus ainsi par moi,
τοῦ καὶ ἀτολμοτάτου πάντων,	et le moins-hardi de tous,
καὶ φθεγγομένου οὐδὲν μεῖζον οὐδενός;	et ne parlant nullement plus-haut qu'aucun?
ὅτι τὸ ἀληθές ἐστιν ἰσχυρόν,	*c'est* que la vérité est puissante,
καὶ τὸ ἐναντίον	et *qu*'au contraire
τὸ συνειδέναι ἑαυτοῖς	avoir-conscience en soi-même
πεπρακόσι τὰ πράγματα	ayant (d'avoir) trahi les affaires
ἀσθενές.	*est* faible.
Τοῦτο παραιρεῖται	Cela enlève

τοῦτο ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾷν ποιεῖ.

Τὸ τοίνυν τελευταῖον ἴστε δήπου καὶ πρῴην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν[1], βοῶντα, ὡς εἰςαγγελεῖ με, καὶ γράψεται, καὶ ἰοὺ ἰού. Καίτοι, ταῦτα μέν ἐστι μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δὲ ἁπλᾶ, καὶ δύο ἢ τρία ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν ἠδυνήθη· « Ἄνδρες Ἀθηναῖοι, τουτὶ τὸ πρᾶγμα πάνδεινόν ἐστιν. Οὑτοσὶ κατηγορεῖ ταῦτ' ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέγονε. Καὶ χρήματ' εἰληφέναι φησὶν ἐμέ, αὐτὸς εἰληφώς, ἢ μετειληφώς. » Τούτων μὲν τοίνυν οὐδὲν εἶπεν, οὔτ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς. Ἄλλα δ' ἠπείλει. Διὰ τί; ὅτι ταῦτα μὲν αὑτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος ἦν τῶν ῥημάτων τούτων. Οὔκουν προςῄει

leur audace, enchaîne leur langue, leur ferme la bouche, y étouffe la parole, et les condamne au silence.

Dernièrement, vous ne l'avez pas oublié, dans la récente assemblée du Pirée, où vous refusiez à Eschine une mission, il criait qu'il m'accuserait comme criminel d'État, il poussait mille clameurs. Ces emportements étaient le prélude de longs discours et d'imputations contentieuses. Toutefois, il n'était besoin que de deux ou trois mots forts simples, tels qu'eût pu les trouver l'esclave le plus novice : « Athéniens, voici un fait bien étrange ! Démosthène m'accuse de crimes dont il est complice. Il dit que j'ai reçu de l'argent, et il l'a partagé avec nous. » Mais ce langage était loin de ses lèvres, et nul de vous ne l'a entendu. Au lieu de cela, il menaçait; et pourquoi ? c'est que sa conscience de coupable le faisait trembler comme un esclave devant la désignation de ses attentats. Loin de se porter

τὴν θρασύτητα τὴν τούτων,	la hardiesse de ces *hommes;*
τοῦτο ἀποστρέφει τὴν γλῶτταν,	cela détourne la langue,
ἐμφράττει τὸ στόμα,	obstrue la bouche,
ἄγχει, ποιεῖ σιωπᾶν.	serre-la-gorge, fait taire.
Ἴστε τοίνυν δήπου	Vous savez certainement
τὸ τελευταῖον καὶ πρώην	en dernier lieu et tout récemment
ἐν Πειραιεῖ,	au Pirée,
βοῶντα	*lui* criant (qu'il criait)
ὥς με εἰςαγγελεῖ,	qu'il m'accuserait-de-crime-d'État,
καὶ γράψεται,	et qu'il rédigerait-l'accusation,
καὶ ἰοὺ ἰού,	et ah! ah!
ὅτε οὐκ εἰᾶτε αὐτὸν	lorsque vous ne laissiez pas lui
πρεσβεύειν.	aller-en-ambassade.
Καίτοι ταῦτα μέν ἐστιν ἀρχὴ	Or cela est le commencement
ἀγώνων καὶ λόγων	de débats et de discours
μακρῶν καὶ πολλῶν·	longs et nombreux;
ἐκεῖνα δὲ ῥήματα	ces paroles-ci, au contraire,
ἁπλᾶ,	*sont* simples,
καὶ ἴσως δύο ἢ τρία,	et peut-être *seulement* deux ou trois,
ἃ καὶ ἄνθρωπος ἐωνημένος	lesquelles même un homme acheté
ἐχθὲς ἂν ἠδυνήθη εἰπεῖν·	hier aurait pu dire:
« Ἄνδρες Ἀθηναῖοι,	« Hommes Athéniens,
τουτὶ τὸ πρᾶγμά	cette affaire
ἐστι πάνδεινον.	est tout-à-fait-étrange.
Οὑτοσὶ κατηγορεῖ ἐμοῦ ταῦτα	Cet *homme* accuse moi de ces *faits*
ὧν αὐτὸς γέγονε κοινωνός.	dont lui-même a été complice.
Καὶ φησὶν	Et il dit
ἐμὲ εἰληφέναι χρήματα,	moi avoir (que j'ai) reçu de l'argent,
αὐτὸς εἰληφώς,	lui qui *en* a reçu
ἢ μετειληφώς. »	ou partagé *avec nous.* »
Εἶπε μὲν τοίνυν οὐδὲν τούτων,	Or *Eschine* ne dit rien de cela,
οὔτε ἐφθέγξατο,	ni ne *le* prononça,
οὐδὲ οὐδεὶς ὑμῶν	ni aucun de vous
ἤκουσεν.	ne *l'*entendit.
Ἠπείλει δὲ ἄλλα.	Mais il menaçait d'autres choses.
Διὰ τί;	Pourquoi? [même
ὅτι συνῄδει μὲν αὐτῷ	parce qu'il avait conscience en lui-
ταῦτα πεπραγμένα,	de ces choses faites *par lui,*
καὶ ἦν δοῦλος	et *qu'*il était esclave de (redoutait en
τῶν ῥημάτων τούτων.	ces paroles-là. [esclave)

πρὸς ταῦθ' ἡ διάνοια, ἀλλ' ἀνεδύετο· ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ συνειδέναι. Λοιδορεῖσθαι δὲ ἄλλα ἄττα, οὐδεὶς ἐκώλυεν αὐτόν, οὐδὲ βλασφημεῖν.

Ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος, ἀλλ' ἔργον. Βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥςπερ ἐπρέσβευσα δίς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δίς, προςελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς, ἔχων μάρτυρας πολλούς, ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα εὐθύνας, καὶ οὐκ ὄντα ὑπεύθυνον. Καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον. Τί οὖν ἦν τοῦτο; τῆς προτέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει, δοὺς λόγον, οὐκ ἔτ' ἠβούλετο αὖθις περὶ ταύτης εἰςιέναι, ἧς νῦν εἰςέρχεται, ἐν ᾗ πάντα τἀδικήματα ἐνῆν. Ἐκ δὲ τοῦ δὶς ἐμὲ εἰςελθεῖν, ἀνάγκη περι-

de ce côté, sa pensée s'en échappait, refoulée par le remords; mais il se trouvait libre dans la carrière de l'injure et de l'invective.

Voici qui surpasse tout; voici, non des paroles, mais un fait. Ayant rempli deux missions, je voulais, avec justice, rendre compte deux fois. Eschine, accompagné de nombreux témoins, se présente aux vérificateurs des comptes, et s'oppose à ce que je sois appelé à leur tribunal, sous prétexte qu'ayant subi l'examen, je n'étais plus responsable. Cette démarche était le chef-d'œuvre du ridicule; mais quel en fut le motif? Eschine, qui avait rendu compte de la première ambassade, pour laquelle il n'était pas accusé, ne voulait pas se soumettre à un nouveau contrôle pour la seconde, objet du procès actuel, et qui renfermait toute la masse des délits. Or, me présenter

Ἡ διάνοια οὔκουν προςῄει	*Sa* pensée donc ne s'approchait point
πρὸς ταῦτα,	de cela, [pait;
ἀλλὰ ἀνεδύετο·	mais *au contraire*, elle s'*en* échap-
τὸ γὰρ συνειδέναι	car le avoir-conscience (la conscience)
ἐπελαμβάνετο αὐτῆς.	refoulait elle.
Οὐδεὶς δὲ ἐκώλυεν αὐτὸν	Mais personne n'empêchait lui
λοιδορεῖσθαι	de dire-des-injures
ἄλλα ἄττα,	telles quelles,
οὐδὲ βλασφημεῖν.	ni de calomnier.
Ὃ τοίνυν μέγιστον	Mais *voici ce* qui *est* le plus fort
ἁπάντων,	de tout,
καὶ οὐ λόγος,	et non-*seulement* des paroles
ἀλλὰ ἔργον.	mais un fait.
Βουλομένου γὰρ ἐμοῦ	Car moi voulant (comme je voulais)
τὰ δικαία,	des choses justes,
καὶ δοῦναι δὶς	et (savoir) rendre deux-fois
λόγον ὑμῖν	compte à vous
οὕτως ὥςπερ ἐπρέσβευσα	de même que j'ai été-en-mission
δίς,	deux fois,
Αἰσχίνης οὑτοσὶ προςελθὼν	Eschine ici-présent s'étant approché
τοῖς λογισταῖς,	des vérificateurs-des-comptes,
ἔχων πολλοὺς μάρτυρας,	ayant *avec lui* beaucoup de témoins,
ἀπηγόρευε μὴ καλεῖν ἐμὲ	dissuadait de citer moi
εἰς τὸ δικαστήριον,	au tribunal,
ὡς δεδωκότα εὐθύνας,	comme ayant rendu *mes* comptes,
καὶ οὐκ ὄντα ὑπεύθυνον.	et n'étant *plus* responsable.
Καὶ τὸ πρᾶγμα ἦν	Et l'action était
ὑπεργέλοιον.	extrêmement-ridicule.
Τί οὖν	Qu'est-ce donc
τοῦτο ἦν;	que cela était (à quelle intention)?
δοὺς λόγον	ayant rendu compte
ἐκείνης πρεσβείας	de cette ambassade
τῆς προτέρας,	la première,
ἧς οὐδεὶς κατηγόρει,	que nul ne dénonçait,
οὐκ ἠβούλετο εἰςιέναι	il ne voulait pas comparaître
αὖθις περὶ ταύτης,	encore au-sujet-de celle-ci, [nant,
ἧς εἰςέρχεται νῦν,	pour laquelle il comparaît mainte-
ἐν ᾗ	dans laquelle
πάντα τὰ ἀδικήματα ἐνῆν.	toutes les prévarications étaient.
Ἐκ δὲ τοῦ	Or, comme-conséquence de ceci *que*

ἵστατο καὶ τούτῳ πάλιν εἰςιέναι. Διὰ ταῦτα οὐκ εἴα καλεῖν. Καίτοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ' ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκότα ἑαυτοῦ τοῦτον, ὥςτε μηδενὶ ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ. Εἰ γὰρ εἶχε, τότ' ἂν καὶ λέγων, καὶ κατηγορῶν ἐξητάζετο, οὐ μὰ Δί', οὐκ ἀπηγόρευε καλεῖν. Ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Ἀλλὰ μήν[1], ἐάν γέ τι ἔξω τῆς πρεσβείας βλασφημῇ περὶ ἐμοῦ, κατὰ πολλὰ οὐκ ἂν εἰκότως ἀκούοιτε αὐτοῦ. Οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί[2]. Τί οὖν ἐστι ταῦτα, πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων ὅ τι ἀπολογήσεται; Ἔτι τοίνυν

deux fois devant les magistrats, c'était lui imposer la nécessité d'y reparaître. De là, sa protestation. Ce fait, ô Athéniens, prouve nettement deux choses : Eschine s'est condamné lui-même, et ôte aujourd'hui à la religion du juge tout moyen de l'absoudre ; Eschine ne dira rien de vrai contre moi. Sans cela, loin de m'écarter du tribunal, par Jupiter ! il aurait eu hâte de m'accuser. — Appelle les témoins qui confirmeront la vérité de ce fait.

D'ailleurs, s'il ne me répond que par des insultes, étrangères à l'ambassade, vous devez, pour plus d'une raison, refuser de l'entendre. Ce n'est pas moi qui suis l'accusé, et la réplique ne m'est pas accordée. Injurier, est-ce autre chose que manquer de preuves ? et l'accusé qui peut se défendre vient-il attaquer ? Faites de plus cette

ἐμὲ εἰςελθεῖν	moi comparaître (je comparaissais)
δίς,	deux fois,
ἀνάγκη περιΐστατο καὶ τούτῳ	nécessité entourait aussi cet *homme*
εἰσιέναι πάλιν.	de comparaître de nouveau.
Διὰ ταῦτα οὐκ εἴα καλεῖν.	Pour cela il ne *me* laissait pas citer.
Καίτοι τοῦτο τὸ ἔργον,	Eh bien! ce fait-là,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐπιδείκνυσιν ὑμῖν σαφῶς	prouve à vous clairement
ἀμφότερα, καὶ τοῦτον	deux choses : et *que* cet *homme*
κατεγνωκότα ἑαυτοῦ,	ayant (a) condamné soi-même,
ὥςτε ἀποψηφίσασθαι αὐτοῦ	si-bien-que absoudre lui [té
ἔχειν εὐσεβῶς	*n'*être (n'est) conformément-à-la-pié-
μηδενὶ ὑμῶν,	pour aucun de vous, [vrai
καὶ ἐροῦντα μηδὲν ἀληθὲς	et devant dire (qu'il ne dira) rien de
περὶ ἐμοῦ.	sur moi.
Εἰ γὰρ εἶχεν,	Car, s'il *le* pouvait,
ἐξητάζετο ἂν τότε	il aurait rendu ses comptes alors
καὶ λέγων καὶ κατηγορῶν,	et parlant et *m'*accusant,
οὐ μὰ Δία,	*et* non point, par Jupiter!
οὐκ ἀπηγόρευε καλεῖν.	il n'eût dissuadé de *me* citer.
Ὡς τοίνυν λέγω ταῦτα	Or, *pour preuve* que je dis cela
ἀληθῆ,	vrai (avec sincérité),
κάλει μοι	appelle-moi
τοὺς μάρτυρας τούτων.	les témoins de ces *faits.*
Ἀλλὰ μήν, ἐάν γε βλασφημῇ	D'ailleurs, si *Eschine* injurie
περὶ ἐμοῦ	contre moi
τι ἔξω τῆς πρεσβείας,	un peu en dehors de cette ambassade,
κατὰ πολλὰ	pour beaucoup *de raisons*
οὐκ ἂν ἀκούοιτε αὐτοῦ	vous ne l'écouteriez pas
εἰκότως.	avec justice. [d'hui,
Οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον,	Car moi, je ne suis pas jugé aujour-
οὐδὲ οὐδεὶς	et personne
ἐγχεῖ ὕδωρ ἐμοὶ	ne versera l'eau pour moi
μετὰ ταῦτα.	après cela.
Τί οὖν ταῦτά ἐστι,	Quoi donc cela est-il,
πλὴν ἀπορία λόγων δικαίων;	si *ce* n'*est* manque de raisons justes?
τίς γὰρ κρινόμενος,	car quel *homme* mis-en-jugement,
ἔχων ὅ τι ἀπολογήσεται,	ayant de quoi il se justifiera (se justi-
ἕλοιτο ἂν κατηγορεῖν;	préférerait accuser? [fier),
Ἔτι τοίνυν σκοπεῖτε καὶ ἐκεῖνο,	Or, de plus, considérez encore ceci,

κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες δικασταί· εἰ ἐκρινόμην μὲν ἐγώ, κατηγόρει δ' Αἰσχίνης οὑτοσί, Φίλιππος δ' ἦν ὁ κρίνων, εἶτ' ἐγώ, μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ, κακῶς ἔλεγον τουτονί, καὶ προπηλακίζειν ἐπεχείρουν, οὐκ ἂν οἴεσθε, καὶ κατ' αὐτὸ τοῦτο, ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας κακῶς λέγοι; Μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων ἀναγκάζετε αὐτὸν ἀπολογεῖσθαι. Λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Οὐκοῦν ἐγὼ μέν, ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι δεινόν, καὶ λόγον ἤθελον διδόναι, καὶ πάντα τὰ ἐκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν. Οὑτοσὶ δὲ τἀναντία. Πῶς οὖν ταὐτὰ ἐμοί, καὶ τούτῳ πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ᾐτιᾶτο πρότερον πώποτε; οὐδαμῶς δήπου. Ἀλλ' ὅμως ἐρεῖ. Καί, νὴ Δί', εἰκότως γε. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἀφ' οὗ γε-

réflexion : si, traduit en justice, j'avais Eschine pour accusateur et Philippe pour juge, et que, dans l'impossibilité d'établir mon innocence, je recourusse à la médisance et au sarcasme, pensez-vous que le prince laissât tranquillement injurier, à sa face, les hommes qui ont bien mérité de sa personne ? Ne soyez donc pas moins délicats qu'un Philippe, et forcez Eschine à renfermer son apologie dans les limites du débat. — Mais lis la déposition.

DÉPOSITION.

Ainsi, moi, par l'impulsion d'une bonne conscience, je voulais rendre mes comptes, je regardais comme un devoir la soumission à toutes les formalités légales; chez l'accusé, c'est le contraire. Est-il donc possible que nos faits soient les mêmes ? A-t-il le droit d'énoncer devant vous des reproches qu'il ne m'a jamais faits jusqu'ici ? Non, sans doute. N'importe, il les énoncera; et, par Jupiter! je ne m'en étonne point; car, vous le savez, depuis qu'il existe des hommes

ὦ ἄνδρες δικασταί·
εἰ ἐγὼ μὲν ἐκρινόμην,
Αἰσχίνης δὲ οὑτοσὶ κατηγόρει,
Φίλιππος δὲ ἦν ὁ κρίνων,
εἶτα ἐγώ, ἔχων εἰπεῖν μηδὲν
ὡς οὐκ ἀδικῶ,
ἔλεγον κακῶς
τουτονί,
καὶ ἐπεχείρουν προπηλακίζειν,
οὐκ οἴεσθε τὸν Φίλιππον
ἂν ἀγανακτῆσαι
καὶ κατὰ αὐτὸ τοῦτο,
εἴ τις λέγοι κακῶς παρὰ ἐκείνῳ
τοὺς εὐεργέτας ἐκείνου;
Ὑμεῖς τοίνυν μὴ γένησθε
χείρους Φιλίππου,
ἀλλὰ ἀναγκάζετε αὐτὸν
ἀπολογεῖσθαι περὶ τούτων
ὑπὲρ ὧν ἀγωνίζεται.
Λέγε τὴν μαρτυρίαν.

ô hommes juges!
si j'étais mis-en-jugement,
*qu'*Eschine, que-voici, *m'*accusât,
que Philippe fût le juge,
si ensuite moi, n'ayant à dire rien
pour prouver que je ne suis-pas-cou-
je disais mal (médisais) [pable,
de cet *homme*,
et m'efforçais de *l'*outrager,
ne pensez-vous pas *que* Philippe
s'indignerait
de cela même, [de lui
si quelqu'un disait mal (injuriait) près
les bons-serviteurs de lui?
Vous donc, ne soyez point
pires que Philippe,
mais contraignez-le
à se défendre sur ces *faits*
au sujet desquels il plaide.
Lis la déposition.

ΜΑΡΤΥΡΙΑ.

Οὐκοῦν ἐγὼ μέν,
ἐκ τοῦ συνειδέναι ἐμαυτῷ
μηδὲν δεινόν,
καὶ ἤθελον διδόναι λόγον,
καὶ ᾤμην δεῖν ὑπέχειν
πάντα τὰ ἐκ τῶν νόμων.
Οὑτοσὶ δὲ
τὰ ἐναντία.
Πῶς οὖν τὰ αὐτὰ
πέπρακται
ἐμοὶ καὶ τούτῳ; ἢ πῶς
ἔνεστι τούτῳ λέγειν πρὸς ὑμᾶς
ταῦτα ἃ μηδὲ ᾐτιᾶτο
πρότερον πώποτε;
οὐδαμῶς δήπου.
Ἀλλὰ ὅμως ἐρεῖ.
Καί, νὴ Δία, εἰκότως γε.
Ἴστε γὰρ δήπου τοῦτο, ὅτι,

DÉPOSITION.

Donc, moi, d'une part, [même
à-cause-de n'avoir-conscience en moi-
de rien de coupable,
et je voulais rendre-compte,
et je croyais *qu'*il fallait subir
toutes les *formalités exigées* par les
Cet *homme*, d'autre part, [lois.
voulait le contraire.
Comment donc les mêmes choses
auraient-elles été faites
par moi et par lui? ou comment
est-il possible à lui de dire à vous
ces *faits* dont il ne *m'*accusa
auparavant jamais?
nullement, certes.
Mais n'importe, il *les* dira. [ment.
Et, par Jupiter! *ce sera* naturelle-
Car vous savez sans doute que,

γόνασιν ἄνθρωποι, καὶ κρίσεις γίγνονται, οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν ἑάλω. Ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν, ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. Ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ' ἀφ' ὧν ἴστε αὐτοί, τὰ πράγματα κρῖναι, μὴ τοῖς ἐμοῖς λόγοις, μηδὲ τοῖς τούτου, προσέχειν, μηδέ γε τοῖς μάρτυσιν, οὓς οὗτος ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν, Φιλίππῳ χορηγῷ χρώμενος (ὄψεσθε δ', ὡς ἑτοίμως αὐτῷ μαρτυρήσουσιν), μηδέ γε εἰ καλὸν καὶ μέγα οὗτος φθέγγεται, μηδ' εἰ φαῦλον ἐγώ. Οὐ γὰρ ῥητόρων, οὐδὲ λόγων κρίσιν ὑμᾶς τήμερον, εἴπερ εὖ φρονεῖτε, προσήκει ποιεῖν, ἀλλ' ὑπὲρ πραγμάτων, αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων, τὴν ὑπάρχουσαν αἰσχύνην εἰς τοὺς αἰτίους ἀπώσασθαι, τὰ πεπραγμένα, ἃ πάντες ἐπίστασθε, ἐξετάσαντες. Τίνα οὖν ἐστι ταῦτα;

et qu'on rend des jugements, nul coupable n'a été condamné sur son propre aveu ; les accusés s'arment toujours d'effronterie, de dénégations, de mensonges ; ils créent des défaites, ils épuisent tous les subterfuges pour échapper au châtiment. Ne soyez dupes d'aucun de ses artifices ; jugez d'après vos propres lumières ; ne vous en rapportez ni à mes paroles, ni à celles d'Eschine, ni aux témoins achetés par l'or de Philippe pour déposer au gré de l'accusé, et avec quel zèle ! vous les verrez. Ne considérez pas non plus la force et la beauté de sa voix, ni les défauts de la mienne ; car vous n'avez pas à prononcer aujourd'hui sur des orateurs, sur des phrases ; mais, après avoir examiné des faits que vous connaissez tous, vous devez renvoyer à leurs coupables auteurs toute l'infamie des crimes qui nous ont perdus. Et quels sont ces crimes ? je le répète, vous les con-

ἀπὸ οὗ ἄνθρωποι γεγόνασι	depuis que des hommes ont été
καὶ κρίσεις γίγνονται,	et que des procès sont,
οὐδεὶς πώποτε ἑάλω	personne jamais ne fut condamné
ὁμολογῶν ἀδικεῖν.	en avouant être-coupable.
Ἀλλὰ ἀναισχυντοῦσιν,	Mais *les accusés* payent-d'effronterie.
ἀρνοῦνται, ψεύδονται,	nient, mentent,
πλάττονται προφάσεις,	forgent des prétextes,
ποιοῦσι πάντα,	font tout, [nis),
ὑπὲρ τοῦ μὴ δοῦναι δίκην.	pour ne pas donner justice (être pu-
Ὧν οὐδενὶ	Par aucune desquelles *ruses*
δεῖ ὑμᾶς παρακρουσθῆναι	il faut *que* vous ne soyez trompés
τήμερον,	aujourd'hui,
ἀλλὰ κρῖναι τὰ πράγματα	mais *il faut* juger les faits
ἀπὸ ὧν αὐτοὶ ἴστε,	d'après *ce* que vous-mêmes savez,
μὴ προσέχειν τοῖς ἐμοῖς λόγοις,	ne pas vous-en-rapporter à mes pa-
μηδὲ τοῖς τούτου,	ni à celles de cet *homme*, [roles,
μηδέ γε τοῖς μάρτυσιν,	ni même aux témoins,
οὓς οὗτος ἕξει ἑτοίμους	que cet *accusé* aura tout-prêts
μαρτυρεῖν ὁτιοῦν,	à déposer quoi-que-ce-soit,
χρώμενος Φιλίππῳ χορηγῷ	se servant de Philippe pour payeur
(ὄψεσθε δὲ ὡς ἑτοίμως	(or vous verrez combien ardemment
μαρτυρήσουσιν αὐτῷ),	ils déposeront en faveur de lui),
μηδέ γε εἰ οὗτος	ni même si cet *homme*
φθέγγεται καλὸν καὶ μέγα,	prononce-d'une-voix belle et forte,
μηδὲ εἰ ἐγὼ φαῦλον.	ni si je *prononce* vicieusement.
Οὐ γὰρ προσήκει τήμερον	Car il ne convient pas *qu'*aujourd'hui
ὑμᾶς ποιεῖν	vous fassiez (vous prononciez)
κρίσιν ῥητόρων	un jugement sur des orateurs
οὐδὲ λόγων,	ni sur des discours,
εἴπερ φρονεῖτε εὖ,	si vous pensez bien (êtes sensés),
ἀλλὰ ἀπώσασθαι	mais *il convient* de rejeter
εἰς τοὺς αἰτίους	sur les coupables
αἰσχύνην τὴν ὑπάρχουσαν	honte qui *leur* appartient
ὑπὲρ πραγμάτων ἀπολωλότων	au sujet d'affaires ruinées
αἰσχρῶς	ignominieusement
καὶ δεινῶς,	et criminellement,
ἐξετάσαντες τὰ πεπραγμένα	ayant (après avoir) examiné les faits
ἃ πάντες ἐπίστασθε.	que tous vous connaissez.
Τίνα οὖν ἐστι ταῦτα;	Quels sont donc ces *faits*?
ἃ ὑμεῖς ἴστε,	*ce sont ceux* que vous savez,

ἃ ὑμεῖς ἴστε, καὶ οὐ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ. Εἰ μὲν γὰρ ἅπανθ', ὅσα ὑπέσχοντο ὑμῖν, ἐκ τῆς εἰρήνης γέγονε, καὶ τοσαύτης ἀνανδρείας καὶ κακίας ὑμεῖς ὁμολογεῖτε εἶναι μεστοί, ὥστε μήτ' ἐν τῇ χώρᾳ τῶν πολεμίων ὄντων, μήτ' ἐκ θαλάττης πολιορκούμενοι, μήτ' ἐν ἄλλῳ μηδενὶ δεινῷ τῆς πόλεως οὔσης; ἀλλὰ καὶ σῖτον εὔωνον ὠνούμενοι, καὶ τἄλλα οὐδὲν χεῖρον πράττοντες, ἢ νῦν, προειδότες καὶ προακηκοότες παρὰ τούτων καὶ τοὺς συμμάχους ἀπολουμένους, καὶ Θηβαίους ἰσχυροὺς γενησομένους, καὶ τὰ ἐπὶ Θράκης Φίλιππον ληψόμενον, καὶ ἐν Εὐβοίᾳ κατασκευασθησόμενα ὁρμητήρια ἐφ' ὑμᾶς, καὶ πάνθ', ὃ πέπρακται, γενησόμενα, εἶτα τὴν εἰρήνην ἐποιήσασθ' ἀγαπητῶς· ἀποψηφίσασθε Αἰσχίνου, καὶ μή, πρὸς τοσούτοις αἰσχροῖς,

naissez, et ce n'est pas de notre bouche que vous devez les apprendre. Si tous les résultats de la paix ont été tels qu'ils vous furent promis; si, sans avoir vu l'ennemi sur votre territoire, sans agression du côté de la mer, sans aucun autre péril, sans que le prix des subsistances fût haussé, sans qu'Athènes fût humiliée, instruits d'avance par les députés que vos alliés allaient périr, Thèbes accroître sa puissance, Philippe envahir vos possessions de Thrace, et se préparer dans l'Eubée des points d'attaque contre vous, qu'enfin tout ce qui s'est fait devait s'accomplir; si, dis-je, vous convenez avoir été assez vils, assez lâches pour accepter avidement la paix dans de telles circonstances, absolvez Eschine : soyez infâmes, mais ne soyez pas iniques :

καὶ οὐ δεῖ	et il n'est-pas-besoin
ὑμᾶς ἀκοῦσαι παρὰ ἡμῶν.	*que* vous *les* appreniez de nous.
Εἰ μὲν γὰρ ἅπαντα	Car, si tous *les résultats*
ὅσα ὑπέσχοντο ὑμῖν	que *les coupables* promirent à vous
γέγονεν ἐκ τῆς εἰρήνης,	sont nés de la paix,
καὶ ὑμεῖς ὁμολογεῖτε	et si vous avouez
εἶναι μεστοὶ	être pleins
ἀνανδρείας καὶ κακίας	d'une lâcheté et perversité
τοσαύτης ὥςτε,	telle que, [ennemis fussent)
μήτε τῶν πολεμίων ὄντων	les ennemis n'étant pas (sans que les
ἐν τῇ χώρᾳ,	dans le pays,
μήτε πολιορκούμενοι	*vous* n'étant pas assaillis
ἐκ θαλάττης,	du-côté-de la mer,
μήτε τῆς πόλεως οὔσης	ni la République n'étant
ἐν μηδενὶ ἄλλῳ δεινῷ,	dans aucune autre *situation* grave,
ἀλλὰ καὶ ὠνούμενοι σῖτον	mais même achetant le blé
εὔωνον,	à-bon-marché,
καὶ πράττοντες τὰ ἄλλα	et *ne* faisant les autres choses
οὐδὲν χεῖρον	en rien plus malheureusement
ἢ νῦν,	que maintenant,
προειδότες καὶ προακηκοότες	ayant appris et entendu-d'avance
παρὰ τούτων	de ces *députés*
καὶ τοὺς συμμάχους	et *que* les alliés
ἀπολουμένους,	devant être (seraient) perdus,
καὶ Θηβαίους	et *que* les Thébains
γενησομένους ἰσχυρούς,	devant devenir (deviendraient) puis-
καὶ Φίλιππον	et que Philippe [sants,
ληψόμενον	devant *s*'emparer (s'emparerait)
τὰ ἐπὶ Θρᾴκης,	des *forteresses* près de la Thrace,
καὶ ὁρμητήρια ἐπὶ ὑμᾶς	et *que* des places-d'armes contre vous
κατασκευασθησόμενα	devant être (seraient) disposées
ἐν Εὐβοίᾳ,	en Eubée,
καὶ πάντα ἃ πέπρακται	et *que* tout *ce* qui a été fait
γενησόμενα,	devant arriver (arriverait),
εἶτα	*si, dis-je,* après cela,
ἐποιήσασθε τὴν εἰρήνην	vous avez conclu la paix
ἀγαπητῶς·	avec-une-grande-satisfaction;
ἀποψηφίσασθε Αἰσχίνου,	renvoyez-absous Eschine,
καὶ μὴ προςκτήσεσθε	et n'ajoutez point
καὶ ἐπιορκίαν	aussi l'infidélité-à-votre-serment

καὶ ἐπιορκίαν προςκτήσησθε· οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ' ἐγὼ μαίνομαι καὶ τετύφωμαι νῦν κατηγορῶν αὐτοῦ. Εἰ δ' ἅπαντα τἀναντία τούτων, καὶ πολλὰ καὶ φιλάνθρωπα εἰπόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις μείζονα, ἢ κατ' Ἀμφίπολιν, εὖ ποιήσειν ὑμᾶς, ἂν τύχῃ τῆς εἰρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν· εἰ ταῦτ' εἰπόντες καὶ ὑποσχόμενοι, πάντ' ἐξηπατήκασι, καὶ πεφενακίκασι, καὶ μονονοὺ τὴν Ἀττικὴν ὑμῶν περιήρηνται· καταψηφίσασθε, καὶ μή, πρὸς τοῖς ἄλλοις, οἷς ὕβρισθε (οὐ γὰρ ἔγωγ' οἶδ', ὅ τι χρὴ λέγειν ἄλλο), καὶ ὑπὲρ ὧν οὗτοι δεδωροδοκήκασιν, ὑμεῖς τὴν ἀρὰν[1] καὶ τὴν ἐπιορκίαν οἴκαδε εἰςενέγκησθε.

Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τίνος ἕνεκα ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν προειλόμην; Οὐ

non, Eschine ne vous a pas trahis; et c'est folie, c'est aveuglement à moi de l'accuser. Mais, si toutes les promesses ont été démenties par les faits, si l'on ne vous annonçait que favorable avenir, qu'amitié de Philippe pour la République, salut pour la Phocide, répression de l'insolence thébaine; si l'on vous a dit qu'en obtenant la paix, le prince ferait plus encore, vous dédommagerait amplement d'Amphipolis, en vous rendant Oropos et l'Eubée; si les prometteurs vous ont complétement joués; s'il vous ont presque enlevé l'Attique, condamnez-les; et, pour couronner tant d'outrages (je ne puis me servir d'un autre terme), outrages dont ils ont reçu le salaire, ah! ne rentrez pas dans vos foyers, chargés d'une malédiction et d'un parjure!

Cherchez encore, ô Athéniens, quel motif m'aurait poussé à poursuivre des innocents : vous n'en trouverez point. Est-il si doux d'avoir

πρὸς τοσούτοις αἰσχροῖς·
ἀδικεῖ γὰρ
ὑμᾶς οὐδέν,
ἀλλὰ ἐγὼ μαίνομαι
καὶ τετύφωμαι
νῦν κατηγορῶν αὐτοῦ.
Εἰ δὲ εἰπόντες
ἅπαντα τὰ ἐναντία τούτων,
καὶ πολλὰ καὶ φιλάνθρωπα,
Φίλιππον
φιλεῖν τὴν πόλιν,
σώσειν Φωκέας,
παύσειν
Θηβαίους τῆς ὕβρεως,
ἔτι πρὸς τούτοις
εὖ ποιήσειν ὑμᾶς μείζονα
ἢ κατὰ Ἀμφίπολιν,
ἂν τύχῃ τῆς εἰρήνης,
ἀποδώσειν Εὔβοιαν, Ὠρωπόν·
εἰ εἰπόντες
καὶ ὑποσχόμενοι ταῦτα,
ἐξηπατήκασι πάντα,
καὶ πεφενακίκασι, καὶ μονονοὺ
περιῄρηνται ὑμῶν τὴν Ἀττικήν·
καταψηφίσασθε,
καὶ μὴ ὑμεῖς εἰσενέγκησθε οἴκαδε
τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν,
πρὸς τοῖς ἄλλοις,
οἷς
ὕβρισθε
(ἔγωγε γὰρ οὐκ οἶδα
ὅ τι ἄλλο χρὴ λέγειν),
καὶ ὑπὲρ ὧν
οὗτοι δεδωροδοκήκασιν.
Ὦ ἄνδρες Ἀθηναῖοι,
σκοπεῖτε τοίνυν ἔτι καὶ ἐκεῖνο,
τίνος ἕνεκα ἐγὼ ἂν προειλόμην
κατηγορεῖν τούτων
ἠδικηκότων μηδέν;
Οὐ γὰρ εὑρήσετε.

à de telles ignominies :
car, *alors*, *Eschine n'*est-coupable
envers vous en rien,
mais moi je suis insensé
et je suis frappé-de-vertige
maintenant en accusant lui. [dit
Si, au contraire, *les députés* ayant
toutes choses opposées à celles-là,
choses et nombreuses et amicales,
à savoir, que Philippe
aime *notre* République,
*qu'*il sauvera les Phocidiens,
*qu'*il réprimera [rannie thébaine),
les Thébains de *leur* tyrannie (la ty-
que, encore outre cela,
il vous fera du bien plus [*perdue*,
que pour-compenser Amphipolis
s'il obtient la paix,
*qu'*il *vous* rendra l'Eubée, Oropos ;
si, *dis-je*, ayant dit
et ayant promis cela,
ils *vous* ont trompés en tout,
et *vous* ont fait-illusion, et presque
ont enlevé à vous l'Attique ;
condamnez *Eschine*,
et ne remportez pas chez-vous
l'imprécation et le parjure,
outre les autres *malheurs*,
par lesquels
vous avez été joués-insolemment
(car, pour moi, je ne sais
quel autre *mot* il faut dire),
et pour lesquels
ces *hommes* ont reçu-des-présents.
O hommes Athéniens,
considérez donc encore ceci,
pourquoi aurais-je entrepris
d'accuser ces *députés* [nullement?
*n'*ayant (s'ils n'avaient) prévariqué
Car vous ne *le* trouverez point.

γὰρ εὑρήσετε. Ἡδὺ πολλοὺς ἐχθροὺς ἔχειν; οὐδέ γ' ἀσφαλές. Ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά τις; οὐδεμία. Τί οὖν; « Ἐφοβοῦ περὶ σεαυτοῦ, καὶ διὰ δειλίαν, ταύτην ἡγήσω σωτηρίαν » (καὶ γὰρ ταῦτα ἀκήκοα αὐτὸν λέγειν). Καίτοι, μηδενός γ' ὄντος, Αἰσχίνη, δεινοῦ, μηδὲ ἀδικήματος, ὡς σὺ φής. Εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, σκοπεῖτε, ὦ ἄνδρες δικασταί, ἐφ' οἷς ὁ μηδοτιοῦν ἀδικῶν ἐφοβούμην ἐγώ, μὴ διὰ τούτους ἀπόλωμαι, τί τούτους προσήκει παθεῖν τοὺς αὐτοὺς ἠδικηκότας; Ἀλλ' οὐ διὰ ταῦτα. Ἀλλὰ διὰ τί σου κατηγορῶ; συκοφαντῶ, νὴ Δί', ἵν' ἀργύριον λάβω παρὰ σοῦ; Καὶ πότερον κρεῖττον ἦν μοι, παρὰ Φιλίππου λαβεῖν, τοῦ διδόντος πολύ, καὶ μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν καὶ τούτους; (ἦσαν γὰρ ἄν, ἦσάν μοι φίλοι τῶν αὐτῶν κεκοινωνηκότι· οὐδὲ γὰρ νῦν ἔχθραν πα-

beaucoup d'ennemis? non; cela n'est pas même sans danger. Avais-je déjà contre Eschine quelque haine? nullement. Quel motif donc? « Tu craignais pour toi-même, ô Démosthène, et tu as cru te sauver par une accusation. » Tel est, je le sais, son langage. Mais, Eschine, il n'y avait, à t'entendre, ni péril, ni prévarication. Au reste, s'il parle ainsi, je vous le demande, ô juges, quand Démosthène innocent tremble d'être entraîné dans leur abîme, que doit-il se passer dans l'âme des coupables? Le mobile de mon accusation n'est donc pas là : où est-il enfin? Dans le métier de sycophante? dans le désir de tirer de toi de l'argent? Eh! ne m'était-il pas plus avantageux d'en recevoir de Philippe, qui m'en offrait beaucoup plus qu'aucun de ceux-ci ne m'en donnerait, et d'avoir pour amis et le prince et mes collègues? Car, leur complice, j'aurais été leur ami; et leur

Ἡδὺ ἔχειν
πολλοὺς ἐχθρούς;
οὐδέ γε ἀσφαλές.
Ἀλλά τις ἀπέχθεια ὑπῆρχέ
μοι πρὸς τοῦτον; οὐδεμία.
Τί οὖν;
« Ἐφοβοῦ περὶ σεαυτοῦ,
καὶ διὰ δειλίαν
ἡγήσω ταύτην σωτηρίαν
(καὶ γὰρ ἀκήκοα
αὐτὸν λέγειν ταῦτα).
Καίτοι, Αἰσχίνη,
μηδενός γε δεινοῦ
μηδὲ ἀδικήματος
ὄντος, ὡς σὺ φῄς.
Εἰ γὰρ αὖ ἐρεῖ ταῦτα,
σκοπεῖτε, ὦ ἄνδρες δικασταί,
τί προςήκει τούτους
τοὺς αὐτοὺς ἠδικηκότας
παθεῖν ἐπὶ οἷς
ἐγὼ ὁ ἀδικῶν μηδοτιοῦν
ἐφοβούμην μὴ ἀπόλωμαι
διὰ τούτους;
Ἀλλὰ οὐ διὰ ταῦτα.
Ἀλλὰ διὰ τί
κατηγορῶ σου;
συκοφαντῶ,
νὴ Δία,
ἵνα λάβω ἀργύριον
παρὰ σοῦ;
Καὶ πότερον ἦν κρεῖττόν μοι
λαβεῖν παρὰ Φιλίππου,
τοῦ διδόντος πολὺ
καὶ ἔλαττον μηδενὸς
τούτων,
καὶ ἔχειν φίλον
καὶ ἐκεῖνον καὶ τούτους;
(ἦσαν γὰρ ἄν, ἦσαν φίλοι
μοι κεκοινωνηκότι
τῶν αὐτῶν·

Est-il doux d'avoir
beaucoup d'ennemis?
cela n'*est* même pas sans-danger.
Mais quelque haine existait-elle
en moi contre cet *homme?* aucune.
Pourquoi donc *l'accusé-je?*
« Tu craignais pour toi-même
et par peur
tu as cru *en* ce moyen-de-salut
(j'apprends en effet
*qu'*il dit cela).
Toutefois, Eschine, *je crains,*
aucun crime
ni *aucune* prévarication
n'existant, à-ce-que tu affirmes.
Car si, à-son-tour, il dit cela,
examinez, ô hommes juges,
ce qu'il convient *que* ces hommes
eux-mêmes, coupables,
souffrent *pour les faits* pour lesquels
moi, *n'*étant-injuste en quoi que ce
je craignais que je ne fusse perdu [soit
à cause d'eux?
Mais *j'accuse* non pour ces *motifs.*
Eh bien! pourquoi *est-ce*
que j'accuse toi?
est-ce que j'agis-en-sycophante,
par Jupiter,
afin que je reçoive de l'argent
de toi?
Était-il plus-avantageux pour moi
d'*en* recevoir de Philippe,
qui *en* donnait beaucoup
et moins qu'aucun (plus que chacun)
de ces *hommes,*
et d'avoir *en même temps pour* ami
et lui et eux?
(car ils seraient, ils seraient amis
à moi ayant participé
aux mêmes *délits :*

τρικὴν ἔχουσι πρὸς ἐμέ, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετέσχηκα·) ἢ παρὰ τούτων, ἀφ' ὧν εἰλήφασι, μεταιτεῖν, κἀκείνῳ τε ἐχθρὸν εἶναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ τῶν ἰδίων, τοσούτων χρημάτων λύσασθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τούτων αἰσχρῶς μετ' ἔχθρας λαμβάνειν; οὐκ ἔστι ταῦτα. Ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ, καὶ ἀπεσχόμην τοῦ λαβεῖν, τοῦ δικαίου καὶ τῆς ἀληθείας ἕνεκα, καὶ τοῦ λοιποῦ βίου, νομίζων, ὥςπερ ἄλλοι τινές, παρ' ὑμῖν, καὶ αὐτός, ὢν ἐπιεικής, τιμηθήσεσθαι, καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς κέρδους. Μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ,

haine actuelle n'a rien d'héréditaire, mais prend sa source dans mon refus de participer à leurs crimes. Devais-je plutôt, hostile à Philippe, hostile à eux-mêmes, solliciter ma part de leur salaire? Après avoir prodigué mon or pour racheter des captifs, mendierai-je aujourd'hui une aumône que je ne recevrais qu'avec leur haine? Non, non! j'ai dit la vérité, j'ai repoussé des présents, pour la vérité, pour la justice, pour mon avenir, persuadé qu'en demeurant fidèle au devoir, je partagerai avec quelques concitoyens les récompenses et les distinctions que vous accordez à la vertu, et qu'il ne faut échanger votre estime contre aucun avantage matériel. Je hais ces hommes, parce que, dans l'ambassade, je les ai reconnus pervers et ennemis des dieux, parce que leur corruption étendant votre

οὐδὲ γὰρ ἔχουσι νῦν	ils n'ont pas, en effet, maintenant
πρὸς ἐμὲ	contre moi
ἔχθραν πατρικήν,	une haine héréditaire,
ἀλλὰ ὅτι	mais *ils ont de la haine* parce que
οὐ μετέσχηκα	je n'ai point pris-part
τῶν πεπραγμένων)·	à *leurs* actions);
ἢ	ou *était-il plus avantageux*
μεταιτεῖν παρὰ τούτων	de demander à eux
ἀπὸ ὧν εἰλήφασι,	de ce qu'ils ont reçu,
καὶ εἶναι ἐχθρὸν	et d'être ennemi
ἐκείνῳ τε καὶ τούτοις;	et à lui et à eux?
καὶ λύσασθαι μὲν	et de racheter, d'un côté,
τοὺς αἰχμαλώτους	les captifs
ἐκ τῶν ἰδίων,	de *mon* propre *argent*,
τοσούτων χρημάτων,	à si grands frais,
ἀξιοῦν δὲ	et de demander, de l'autre côté,
λαμβάνειν παρὰ τούτων	à recevoir d'eux
αἰσχρῶς	honteusement [haine?
μικρὰ μετὰ ἔχθρας;	une petite *récompense* avec *leur*
ταῦτα οὐκ ἔστι.	cela n'est point.
Ἀλλὰ ἀπήγγειλα μὲν τὰ ἀληθῆ,	Mais j'ai rapporté la vérité,
καὶ ἀπεσχόμην τοῦ λαβεῖν,	et je me suis abstenu de recevoir,
ἕνεκα τοῦ δικαίου	pour la justice,
καὶ τῆς ἀληθείας,	et la sincérité,
καὶ τοῦ λοιποῦ βίου,	et pour le reste de *ma* vie,
νομίζων καὶ αὐτός,	estimant *que* moi-même,
ὢν ἐπιεικής,	étant intègre,
τιμηθήσεσθαι παρὰ ὑμῖν	je serai honoré chez vous
ὥςπερ ἄλλοι τινές,	comme quelques autres,
καὶ κατὰ τοῦτο	et qu'à cause de cela
ἕξειν πλέον	j'aurai plus (je serai plus considéré)
τῶν πολλῶν,	que la multitude,
καὶ οὐκ εἶναι ἀνταλλακτέον μοι	et *qu'*il n'est pas à-échanger pour moi
τὴν φιλοτιμίαν	le désir-d'être-considéré *ainsi*
πρὸς ὑμᾶς	auprès de vous
οὐδενὸς κέρδους.	contre aucun gain.
Μισῶ δὲ τούτους,	Or, je hais ces *hommes*,
ὅτι εἶδον	parce que je *les* ai vus
ἐν τῇ πρεσβείᾳ	pendant l'ambassade
μοχθηροὺς καὶ ἐχθροὺς θεοῖς,	pervers et ennemis des dieux,

καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν διὰ τὴν τούτων δωροδοκίαν, πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων. Κατηγορῶ δὲ νυνί, καὶ ἐπὶ τὰς εὐθύνας ἥκω, τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι παρ' ὑμῖν, ὅτι τἀναντία ἐμοὶ καὶ τούτοις πέπρακται. Καὶ δέδοικα, δέδοικα (εἰρήσεται γάρ, ὦ ἄνδρες δικασταί, ἅπανθ', ἃ φρονῶ, πρὸς ὑμᾶς), μὴ τότε μὲν τούτοις συνεπισπάσησθέ με τὸν μηδοτιοῦν ἀδικοῦντα, νῦν δ' ἀναπεπτωκότες ἦτε. Παντάπασι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκλελύσθαι μοι δοκεῖτε, καὶ παθεῖν ἀναμένειν τὰ δεινά, ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθαι, οὐδὲ φροντίζειν τῆς πόλεως πάλαι κατὰ πολλοὺς καὶ δεινοὺς τρόπους διαφθειρομένης.

Οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές; (καὶ γὰρ εἴ τι σιωπᾷν

disgrâce sur la députation entière, m'a dépouillé de mes honneurs personnels. Je les accuse aujourd'hui, j'interviens dans cette enquête, parce que je prévois l'avenir, et que je veux faire constater devant le peuple, par un procès, par un tribunal, qu'entre ma conduite et la leur, il y eut un abîme. Dirai-je ma pensée tout entière? je crains, oui, je crains que, malgré mon innocence, vous ne m'enveloppiez un jour dans leur condamnation, et que, maintenant, vous ne manquiez d'énergie; car je vous vois, ô Athéniens, plongés dans une apathie profonde, attendre que le malheur pèse sur vous, regarder l'infortune des autres sans la détourner de vos têtes, et n'avoir aucun souci de la patrie, en butte depuis longtemps à d'innombrables, à de dangereux attentats.

O exemple étrange et presque incroyable! exemple que j'étais

καὶ ἀπεστέρημαι
καὶ φιλοτιμιῶν τῶν ἰδίων
διὰ τὴν δωροδοκίαν τούτων,
ὑμῶν ἐσχηκότων
δυσχερῶς
πρὸς ὅλην τὴν πρεσβείαν.
Κατηγορῶ δὲ νυνί,
καὶ ἥκω
ἐπὶ τὰς εὐθύνας,
προορώμενος τὸ μέλλον,
καὶ βουλόμενος
διωρίσθαι μοι
παρὰ ὑμῖν ἀγῶνι
καὶ δικαστηρίῳ,
ὅτι τὰ ἐναντία
πέπρακται
ἐμοὶ καὶ τούτοις.
Καὶ δέδοικα, δέδοικα
(ἅπαντα γὰρ ἃ φρονῶ
εἰρήσεται πρὸς ὑμᾶς,
ὦ ἄνδρες δικασταί),
μὴ τότε μὲν
συνεπισπάσησθε τούτοις
με τὸν μηδοτιοῦν ἀδικοῦντα,
νῦν δὲ
ἦτε ἀναπεπτωκότες.
Δοκεῖτε γάρ μοι,
ὦ ἄνδρες Ἀθηναῖοι,
ἐκλελύσθαι παντάπασι,
καὶ ἀναμένειν
παθεῖν τὰ δεινά,
ὁρῶντες δὲ ἑτέρους πάσχοντας
οὐ φυλάττεσθαι,
οὐδὲ φροντίζειν τῆς πόλεως
διαφθειρομένης πάλαι
κατὰ τρόπους
πολλοὺς καὶ δεινούς.
Οὐκ οἴεσθε
εἶναι δεινὸν καὶ ὑπερφυές;
(καὶ γὰρ εἰ ἐγνώκειν

et *que* j'ai été privé
de mes honneurs personnels
à-cause-de la vénalité d'eux,
vous ayant été (vu que vous étiez)
en-colère
contre toute la députation.
J'accuse maintenant,
et j'interviens
dans la reddition-de-comptes,
prévoyant (parce que je prévois) l'a-
et voulant [venir,
qu'il soit statué-distinctement par
chez vous dans un procès [moi
et devant un tribunal,
que des *actes* opposés
ont été accomplis
par moi et par eux.
Et je crains, je crains
(car tout *ce* que je pense
sera dit à vous,
ô hommes juges),
qu'alors (que plus tard)
vous n'entraîniez-avec ces *hommes*
moi, *qui ne suis* nullement coupable,
et *que* maintenant
vous *ne* soyez nonchalants.
Car vous semblez à moi,
ô hommes Athéniens,
vous être relâchés complétement,
et attendre
que vous souffriez les malheurs,
et, *en* voyant d'autres qui *les* souf-
ne pas vous *en* préserver, [frent
ni avoir-souci de la République
que-l'on-perd depuis-longtemps
par des moyens
nombreux et dangereux.
Ne croyez-vous pas
que ceci est révoltant et monstrueux?
(car, quoique j'aie résolu

ἐγνώκειν, νῦν λέγειν ἐξάγομαι.) Ἴστε δήπου Πυθοκλέα τουτονὶ τὸν Πυθοδώρου. Τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ. Καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. Οὗτος ἐκτρέπεταί με νῦν ἀπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται. Κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντα ἐμοί. Μετὰ δ' Αἰσχίνου περιέρχεται τὴν ἀγορὰν κύκλῳ, καὶ βουλεύεται, καὶ σκοπεῖ. Οὔκουν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τοῖς μὲν τὰ Φιλίππου πράγμαθ' ᾑρημένοις θεραπεύειν, οὕτως ἀκριϐῆ τὴν παρ' ἐκείνου πρὸς ἑκάτερ' αἴσθησιν ὑπάρχειν, ὥστε ἕκαστον, ὥςπερ ἂν εἰ παρεστηκότος αὐτοῦ, μηδ' ὧν ἂν ἐνθάδε πράξῃ, μηδὲν ἡγεῖσθαι λήσειν,

décidé à taire, et que je me sens poussé à présenter! Vous connaissez sans doute Pythoclès, fils de Pythodore. J'étais fort lié avec lui, et, jusqu'à ce jour, il n'y avait eu entre nous aucun refroidissement. Mais, depuis qu'il est allé près de Philippe, il se détourne quand il me rencontre; et, s'il est contraint de m'aborder, il s'est bientôt esquivé, de peur qu'on ne l'aperçoive causant avec moi. Avec Eschine, au contraire, il fait sur la place de longues promenades, de longues conférences politiques. Dangereux et révoltant contraste, ô Athéniens! les serviles agents de la Macédoine sont soumis si minutieusement en tout à l'influence de Philippe, que, comme s'il était présent, chacun pense ne pouvoir lui cacher, même ici, une seule de ses dé-

σιωπᾷν τι,	de passer-sous-silence quelque cho-
νῦν	maintenant [se,
ἐξάγομαι λέγειν.)	je suis poussé à parler.)
Ἴστε δήπου	Vous connaissez certes
Πυθοκλέα τουτονὶ	ce Pythoclès,
τὸν Πυθοδώρου.	le *fils* de Pythodore.
Ἐγὼ ἐκεχρήμην τούτῳ	J'en avais usé envers lui
πάνυ φιλανθρώπως.	tout à fait amicalement.
Καὶ οὐδὲν ἀηδὲς	Et rien de désagréable
γέγονεν ἐμοὶ καὶ τούτῳ	ne fut à moi et à lui (entre nous)
εἰς ταύτην τὴν ἡμέραν.	jusqu'à ce jour.
Οὗτος	Cet homme [tre)
ἀπαντῶν	*me* rencontrant (quand il me rencon-
ἐκτρέπεταί με νῦν,	se détourne de moi maintenant,
ἀπὸ οὗ	depuis que
ἀφῖκται πρὸς Φίλιππον.	il est allé auprès de Philippe.
Καὶ ἂν ἀναγκασθῇ	Et, s'il est contraint
συντυχεῖν που,	de se-trouver-avec *moi* quelque part,
ἀπεπήδησεν	il s'est échappé-vivement
εὐθέως,	aussitôt,
μή τις ἴδῃ αὐτὸν	de-peur-que l'on ne voie lui
λαλοῦντα ἐμοί.	parlant à moi.
Μετὰ δὲ Αἰσχίνου	Mais avec Eschine
περιέρχεται τὴν ἀγορὰν	il va-autour-de la place
κύκλῳ,	circulairement,
καὶ βουλεύεται καὶ σκοπεῖ.	et discute et spécule.
Οὔκουν δεινὸν	N'*est-il* donc pas dangereux
καὶ σχέτλιον,	et insupportable,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
τὴν μὲν αἴσθησιν	*que*, d'une part, le sentiment
παρὰ ἐκείνου	*provenant* de lui (l'influence de Phi-
ὑπάρχειν	existe [lippe)
τοῖς ᾑρημένοις	chez ceux qui ont entrepris
θεραπεύειν τὰ πράγματα	de servir les intérêts
Φιλίππου	de Philippe,
οὕτως ἀκριβῆ	*influence* si minutieuse
πρὸς ἑκάτερα,	en chaque chose,
ὥςτε ἕκαστον ἡγεῖσθαι	que chacun *d'eux* croit
μηδὲν λήσειν,	*que* rien n'échappera *à ce prince*,
μηδὲ ὧν ἂν πράξῃ ἐνθάδε,	même de ce qu'il aura fait ici,

ἀλλὰ καὶ φίλους νομίζειν, οὓς ἂν ἐκείνῳ δοκῇ, καὶ μὴ φίλους ὡσαύτως· τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι, καὶ τῆς παρ' ὑμῶν τιμῆς γλιχομένοις, καὶ μὴ προδεδωκόσι ταύτην, τοσαύτην κωφότητα καὶ τοσοῦτον σκότος παρ' ὑμῶν ἀπαντᾶν, ὥστε τοῖς ἀλιτηρίοις τούτοις ἐξ ἴσου νῦν ἐμὲ ἀγωνίζεσθαι, καὶ ταῦτα παρ' ὑμῖν τοῖς ἅπαντ' εἰδόσιν; Βούλεσθε οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον; ἐγὼ δὴ φράσω. Ἀξιῶ δὲ μηδέν' ἄχθεσθαί μοι λέγοντι τἀληθῆ.

Ὅτι ἐκεῖνος μὲν ἕν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν, παντὶ θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας, καὶ μισεῖ τοὺς τἀναντία. Ὑμῶν δ' ἕκαστος, πρῶτον μέν, οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν, αὑτὸν εὖ ποιεῖν ἡγεῖται, οὔτε τὸν κακῶς, κακῶς· ἀλλ' ἕτερά ἐστιν ἑκάστῳ προυργιαίτερα, ὑφ' ὧν παράγεσθε πολ-

marches, et règle selon ses vues sa haine et son amitié; et des citoyens qui ne vivent que pour vous, jaloux de votre estime et incapables de la tromper, vous trouvent si sourds et si aveugles, que moi-même je suis réduit à combattre devant vous, corps à corps, contre des scélérats dont tous les crimes vous sont connus! Voulez-vous en savoir la raison? je vais la dire; et puisse ma franchise ne pas vous être importune!

Philippe, qui est absolument seul, aime sans partage qui le sert, comme il hait qui le traverse. Mais, aux yeux de chaque Athénien, ni le bien ni le mal fait à la République ne s'adresse à lui-même. Il est des motifs qui touchent de plus près chacun de vous, et qui sou-

ὥςπερ ἂν εἰ αὐτοῦ παρεστηκότος,	comme lui étant (s'il était)-debout-
ἀλλὰ καὶ	mais encore [près *d'eux*,
νομίζειν φίλους	regarde *comme* amis
οὓς ἂν δοκῇ ἐκείνῳ,	qui semble-bon à ce *prince*,
καὶ μὴ φίλους ὡςαύτως·	et *comme* non amis de même;
κωφότητα δὲ τοσαύτην	et *que*, d'autre part, surdité telle
καὶ σκότος τοσοῦτον	et ténèbres telles [vous)
ἀπαντᾷν παρὰ ὑμῶν	se rencontrent de votre part (chez
τοῖς ζῶσι πρὸς ὑμᾶς,	pour ceux qui vivent pour vous,
καὶ γλιχομένοις	et désirant
τῆς τιμῆς παρὰ ὑμῶν,	l'estime de vous,
καὶ μὴ προδεδωκόσι ταύτην,	et n'ayant pas trahi elle,
ὥςτε ἐμὲ νῦν	que moi maintenant
ἀγωνίζεσθαι ἐξ ἴσου	je lutte d'égal *à égal*
τούτοις τοῖς ἀλιτηρίοις,	avec ces fléaux *de la patrie*,
καὶ ταῦτα	et cela,
παρὰ ὑμῖν τοῖς εἰδόσιν ἅπαντα;	près de vous qui savez tout?
Βούλεσθε οὖν εἰδέναι	Voulez-vous donc savoir
καὶ ἀκοῦσαι	et entendre *dire*
τὸ αἴτιον τούτων·	la cause de ces *choses!*
ἐγὼ δὴ φράσω.	je *vous la* dirai.
Ἀξιῶ δὲ μηδένα	Mais je demande *que* personne
ἄχθεσθαί μοι λέγοντι τὰ ἀληθῆ.	ne se fâche contre moi disant la vérité.
Ὅτι ἐκεῖνος μέν,	*La cause c'est* que ce *prince*,
οἶμαι,	je crois,
ἔχων ἓν σῶμα	ayant un-seul corps
καὶ μίαν ψυχήν,	et une-seule âme,
παντὶ θυμῷ καὶ φιλεῖ	de tout cœur et aime [même,
τοὺς ποιοῦντας εὖ ἑαυτόν,	ceux qui font bien (du bien) à lui-
καὶ μισεῖ τοὺς τὰ ἐναντία.	et hait ceux *qui font* le contraire.
Ἕκαστος δὲ ὑμῶν, πρῶτον μὲν	Mais chacun de vous d'abord
οὔτε ἡγεῖται	ne croit pas
τὸν εὖ ποιοῦντα	*que* celui qui fait bien (du bien)
τὴν πόλιν	à la République,
ποιεῖν εὖ αὐτόν,	fasse bien (du bien) à lui,
οὔτε τὸν κακῶς	ni *que* celui *qui fait* du mal *à la Ré-*
κακῶς·	*fait* du mal *à lui;* [*publique*
ἀλλὰ ἕτερά	mais d'autres *motifs*
ἐστι προυργιαίτερα	sont regardés-comme-préférables
ἑκάστῳ,	par chacun,

λάκις, ἔλεος, φθόνος, ὀργή, χαρίσασθαί τῳ δεηθέντι, ἄλλα μυρία· ἂν γὰρ ἅπαντά τις ἐκφύγῃ τἄλλα, τούς γε οὐδένα βουλομένους εἶναι τοιοῦτον, οὐ διαφεύξεται[1]. Ἡ δ' ἐφ' ἑκάστου τούτων ἁμαρτία, κατὰ μικρὸν ὑποῤῥέουσα, ἀθρόος τῇ πόλει γίγνεται βλάβη. Ὧν μηδέν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον, μηδ' ἀφῆτε τοῦτον, ὃς ὑμᾶς τηλικαῦτα ἠδίκηκε· καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; « Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τουτονί, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης[2]. — Τί οὖν; — Ὁ μέν, πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν, τοὺς αἰχμαλώτους ἐκ τῶν ἰδίων ἐλύσατο. Ὁ δέ, ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζε καὶ ἰχθῦς περιϊών[3]. Καὶ ὁ μὲν τὸν υἱὸν ἔπεμψε Φιλίππῳ, πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς

vent vous entraînent : pitié, jalousie, colère, égards pour la sollicitation, et mille autres. Eh ! quand on échapperait à tout le reste, échappera-t-on à ceux qui ne peuvent souffrir un honnête homme ? De là tant de fautes de détail qui pénètrent sourdement le corps de l'État, et l'attaquent de toutes leurs forces réunies. Loin de vous aujourd'hui une telle erreur, ô Athéniens ! Point de grâce pour votre oppresseur ! Car, en vérité, que dira-t-on si vous l'absolvez ? « Athènes a député vers Philippe Philocrate, Eschine, Phrynon, Démosthène. — Eh bien ? — Le dernier, non-seulement n'a tiré aucun profit de son ambassade, mais a délivré des captifs à ses frais ; le premier, du salaire de sa trahison achetait, en faisant le tour du marché, des courtisanes et de friands morceaux. Un autre a envoyé à Philippe son

ὑπὸ ὧν πολλάκις — par lesquels souvent
παράγεσθε, — vous êtes entraînés,
ἔλεος, φθόνος, ὀργή, — pitié, haine, colère,
χαρίσασθαί τῳ δεηθέντι, — *désir d'*obliger quelqu'un qui prie,
μυρία ἄλλα· — dix mille autres;
ἂν γάρ τις ἐκφύγῃ — car, si quelqu'un échappait
ἅπαντα τὰ ἄλλα, — à tout le reste,
οὐ διαφεύξεται — il n'échappera pas
τούς γε βουλομένους — du moins à ceux qui veulent
οὐδένα εἶναι τοιοῦτον. — qu'aucun ne soit tel (honnête).
Ἡ δὲ ἁμαρτία — Or le vice *consistant*
ἐπὶ ἑκάστου τούτων, — dans chacune de ces *dispositions*,
ὑποῤῥέουσα κατὰ μικρόν, — s'écoulant-en-dessous peu-à-peu,
γίγνεται βλάβη ἀθρόος — devient une ruine en-masse
τῇ πόλει. — pour la République.
Ὧν — Desquelles *impressions* [jourd'hui,
πάθητε μηδὲν τήμερον, — puissiez-vous n'éprouver aucune au-
ὦ ἄνδρες Ἀθηναῖοι, — ô hommes Athéniens,
μηδὲ ἀφῆτε τοῦτον, — et n'absolvez pas cet *homme*, [des
ὃς ἠδίκηκε τηλικαῦτα — qui a-commis-des-iniquités si-gran-
ὑμᾶς· — envers vous;
καὶ γὰρ ὡς ἀληθῶς — car vraiment,
τίς ἔσται λόγος περὶ ὑμῶν, — quels seront les propos sur vous,
εἰ ἀφήσετε τοῦτον; — si vous acquittez lui? *les voici :*
« Τινὲς — « Quelques *citoyens*
ἐπρέσβευσαν — sont-allés-en-ambassade [*savez*,
Ἀθήνηθεν ὡς Φίλιππον τουτονί, — d'Athènes vers ce Philippe *que vous*
Φιλοκράτης, Αἰσχίνης, — *à savoir*, Philocrate, Eschine,
Φρύνων, Δημοσθένης. — Phrynon, Démosthène.
— Τί οὖν; — — Qu'*ont-ils* donc *fait?*
— Ὁ μέν, — — Celui-ci,
πρὸς τῷ λαβεῖν μηδὲν — outre *qu'*il n'accepta rien
ἐκ τῆς πρεσβείας, — par-suite-de *sa* mission,
ἐλύσατο τοὺς αἰχμαλώτους — affranchit des captifs
ἐκ τῶν ἰδίων. — de ses propres *deniers*.
Ὁ δὲ περιιὼν ἠγόραζε — Celui-là, circulant, achetait-au-mar-
πόρνας καὶ ἰχθῦς — courtisanes et poissons [ché
τούτων χρημάτων, ὧν ἀπέδοτο — de cet argent pour lequel il vendait
τὰ πράγματα τῆς πόλεως. — les intérêts de la République.
Καὶ ὁ μὲν ἔπεμψε Φιλίππῳ — Et cet *autre* envoya à Philippe

Φρύνων. Ὁ δ' οὐδὲν ἀνάξιον οὔτε τῆς πόλεως, οὔθ' αὑτοῦ διεπράξατο. Καὶ ὁ μέν, χορηγῶν, καὶ τριηραρχῶν, ἔτι καὶ ταῦτ' ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν, λύεσθαι τοὺς αἰχμαλώτους, μηδένα ἐν συμφορᾷ τῶν πολιτῶν δι' ἔνδειαν περιορᾷν. Ὁ δέ, τοσούτου δεῖ τῶν ὑπαρχόντων τινὰ αἰχμαλώτων σῶσαι, ὥςθ' ὅλον τόπον, καὶ πλείους ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ δὲ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων, ὅπως αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασεν. — Τί οὖν μετὰ ταῦτα; — Ἀθηναῖοι λαβόντες· ᾔδεσαν μὲν γὰρ πάλαι· — Τί δέ; — Τοὺς μὲν χρήματα εἰληφότας καὶ δῶρα, καὶ καταισχύναντας ἑαυτούς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας, ἀφίεσαν, καὶ νοῦν ἔχειν ἡγοῦντο, καὶ τὴν πόλιν εὐθηνεῖσθαι. — Τὸν δὲ κατηγοροῦντα

fils encore adolescent : c'est l'infâme Phrynon. Il en est un qui n'a rien fait d'indigne ni de la République, ni de lui-même. Celui qui accusait les autres, aux charges de chorége et de triérarque avait cru devoir ajouter des dépenses volontaires, affranchir des prisonniers, et ne pas souffrir que, faute d'argent, aucun citoyen restât dans le malheur. Un accusé, loin d'avoir délivré un seul captif, a, par ses intrigues, préparé à Philippe l'asservissement d'une contrée entière, alliée d'Athènes, de plus de dix mille hommes de grosse infanterie, et d'à peu près mille cavaliers. — Et qu'en est-il résulté? — Saisis de cette affaire, qu'ils connaissaient depuis longtemps, les Athéniens.... — Qu'ont-ils fait? — Ceux qui avaient reçu richesses et présents, ceux qui avaient couvert d'opprobre leurs personnes, leurs enfants, leur patrie, ils les ont acquittés; il les ont regardés comme des hommes d'un grand sens, et Athènes comme une république floris-

τὸν υἱόν,	*son* fils,
πρὶν ἐγγράψαι	avant de *l'*avoir-fait-inscrire
εἰς ἄνδρας,	parmi les hommes-faits,
ὁ μιαρὸς Φρύνων.	*c'est* le méprisable Phrynon.
Ὁ δὲ διεπράξατο	Tel, *parmi eux* n'exécuta
οὐδὲν ἀνάξιον	rien d'indigne
οὔτε τῆς πόλεως, οὔτε αὑτοῦ.	ni de la cité, ni de lui-même.
Καὶ ὁ μέν, χορηγῶν	Et celui-ci, étant-chorége [lait
καὶ τριηραρχῶν, ᾤετο δεῖν	et étant-triérarque, pensa *qu'*il fal-
ἐθελοντὴς ἀναλίσκειν ἔτι	volontaire*ment* dépenser encore
καὶ ταῦτα,	aussi cela,
λύεσθαι τοὺς αἰχμαλώτους,	payer-la-rançon des captifs,
περιορᾷν	*ne* voir-avec-indifférence
μηδένα τῶν πολιτῶν ἐν συμφορᾷ	aucun des citoyens dans le malheur
διὰ ἔνδειαν.	par indigence.
Ὁ δέ, δεῖ τοσούτου	Celui-là est éloigné tellement
σῶσαί τινα	d'affranchir quelqu'un
τῶν ὑπαρχόντων αἰχμαλώτων,	de ceux qui étaient captifs,
ὥστε συμπαρεσκεύασε	qu'il prépara-par-ses-intrigues
τόπον ὅλον,	un pays entier,
καὶ πλείους ἢ μυρίους μὲν	et plus de dix mille
ὁπλίτας,	hommes-de-grosse-infanterie,
ὁμοῦ δὲ χιλίους ἱππέας	et à-peu-près mille cavaliers
τῶν ὑπαρχόντων συμμάχων,	de ceux qui étaient *nos* alliés,
ὅπως γένωνται αἰχμάλωτοι	de manière qu'ils devinssent captifs
Φιλίππῳ.	à (de) Philippe.
— Τί οὖν μετὰ ταῦτα;	— Que *se passa-t-il* donc après cela?
— Ἀθηναῖοι	— Les Athéniens,
λαβόντες·	ayant convaincu *les coupables;*
ᾔδεσαν μὲν γὰρ	car ils connaissaient *les faits*
πάλαι·	depuis-longtemps :
— Τί δέ; — Ἀφίεσαν μὲν	— Que *firent-ils ?* — Ils acquittèrent
τοὺς εἰληφότας	ceux qui avaient reçu
χρήματα καὶ δῶρα,	richesses et présents,
καὶ καταισχύναντας	et qui avaient couvert-de-honte
ἑαυτούς,	eux-mêmes, [mes,
τὴν πόλιν, τοὺς παῖδας ἑαυτῶν,	la République, les enfants d'eux-mê-
καὶ ἡγοῦντο	et ils jugèrent
ἔχειν νοῦν,	*qu'*ils avaient du bon-sens,
καὶ τὴν πόλιν εὐθηνεῖσθαι.	et *que* la République était-florissante.

τί; — Ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν, ὅποι τὰ ἑαυτοῦ ῥιπτεῖ.» Καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἰδὼν τὸ παράδειγμα, δίκαιον αὐτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν, εἰ μήτε λαβεῖν, μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; Ὥςτε οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ, ἀλλὰ καὶ νόμον τίθεσθε εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προςήκει, ἢ προῖκα ὑπὲρ ὑμῶν τὰ βέλτιστα ἀδωροδοκήτως.

Ἀλλὰ μὴν περὶ μὲν τῶν ἄλλων, οὐδενὸς προςδεῖσθε μάρτυρος· ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδα ἐπ' αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν. Εἰ δέ τις, ὢν ἐφ' ἡλικίας

sante. — Et l'accusateur? — Comme un fou, qui ne connaît point sa patrie, et ne sait où jeter son argent.» Qui donc, ô Athéniens, après un tel exemple, sera jaloux de se montrer intègre? Qui voudra remplir une mission sans passion cupide, ne recevant rien, et n'ayant pas plus de crédit auprès de vous que ceux qui auront reçu? Ainsi, législateurs aujourd'hui aussi bien que juges, vous allez statuer à tout jamais s'il faut que tout député se vende sordidement à l'ennemi, ou se dévoue avec un entier désintéressement au service de la patrie.

Pour tous ces faits, des témoins seraient superflus. Appelle seulement ceux qui attesteront que Phrynon a fait partir son fils.

DÉPOSITION.

Eschine n'a donc point accusé cet homme pour avoir, dans des vues infâmes, jeté son propre enfant à Philippe; et qu'un citoyen,

— Τί δὲ τὸν κατηγοροῦντα;
— Ἐμβεβροντῆσθαι,
ἀγνοεῖν τὴν πόλιν,
οὐκ ἔχειν ὅποι ῥιπτεῖ
τὰ ἑαυτοῦ. »
Καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι,
ἰδὼν τοῦτο τὸ παράδειγμα,
ἐθελήσει παρασχεῖν ἀυτὸν
δίκαιον;
τίς πρεσβεύειν
προῖκα,
εἰ ὑπάρξει
μήτε λαβεῖν,
μήτε δοκεῖν
εἶναι παρὰ ὑμῖν ἀξιοπιστότερον
τῶν εἰληφότων;
Ὥςτε οὐ μόνον κρίνετε
τούτους τήμερον, οὔ,
ἀλλὰ καί, εἰς ἅπαντα χρόνον
τὸν μετὰ ταῦτα,
τίθεσθε νόμον
πότερον προςήκει απαντας
πρεσβεύειν
χρημάτων αἰσχρῶς
ὑπὲρ τῶν ἐχθρῶν,
ἢ προῖκα ἀδωροδοκήτως
τὰ βέλτιστα ὑπὲρ ὑμῶν.
Ἀλλὰ μὴν
περὶ μὲν τῶν ἄλλων,
προςδεῖσθε οὐδενὸς μάρτυρος·
κάλει δέ μοι τοὺς μάρτυρας
τούτων, ὡς ὁ Φρύνων
ἔπεμψε τὸν υἱόν.

—Que *pensèrent-ils* de l'accusateur?
— *Qu*'il était devenu-fou, [que,
qu'il ne-connaissait-pas la Républi-
qu'il n'avait où il jetât (ne savait où
l'*argent* de lui-même. » [jeter)
Et qui, ô hommes Athéniens,
ayant vu cet exemple,
voudra se montrer lui-même
homme juste?
qui *voudra* être-ambassadeur
avec-désintéressement,
s'il doit *lui* arriver
de ne pas recevoir *de présents*,
et ne pas paraître
être près de vous plus-digne-de-crédit
que ceux qui *en* ont reçu?
Donc, non-seulement vous jugez
ces *hommes* aujourd'hui, non,
mais encore, pour tout le temps
celui d'après cela (pour l'avenir),
vous portez loi (décidez par une loi)
s'il faut *que* tous
s'acquittent-d'une-mission
pour de l'argent, honteusement,
dans-l'intérêt des ennemis, [dons,
ou gratuitement, sans-recevoir-de-
très-bien, dans-l'intérêt-de vous.
Cependant,
concernant les autres *faits*,
vous n'avez besoin d'aucun témoin :
appelle-moi *seulement* les témoins
de ceci, *savoir*, que Phrynon
a fait-partir *son* fils.

ΜΑΡΤΥΡΕΣ.

TÉMOINS.

Αἰσχίνης τοίνυν
οὐκ ἔκρινε τοῦτον μέν,
ὅτι ἔπεμψε πρὸς Φίλιππον
τὸν παῖδα αὐτοῦ
ἐπὶ αἰσχύνῃ.

Eschine donc
n'a pas accusé celui-ci,
parce qu'il a envoyé à Philippe
le fils de lui-même [intention).
pour la honte (dans une honteuse

ἑτέρου βελτίων τὴν ἰδέαν, μὴ προειδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον τῷ μετὰ ταῦτα ἐχρήσατο βίῳ[1], τοῦτον ὡς πεπορνευμένον κέκρικε.

Φέρε δὴ περὶ τῆς ἑστιάσεως, καὶ τοῦ ψηφίσματος εἴπω. Μικροῦ γε, ἃ μάλιστά μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν, παρῆλθον. Τῆς πρώτης ἐκείνης πρεσβείας γράφων τὸ προβούλευμα ἐγώ, καὶ πάλιν ἐν τῷ δήμῳ, ταῖς ἐκκλησίαις, ἐν αἷς ἠμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης, οὐδενὸς οὔτε λόγου πω παρὰ τούτων, οὔτ' ἀδικήματος ὄντος φανεροῦ, τὸν νόμον ἔθος ποιῶν, καὶ ἐπήνεσα τούτους, καὶ εἰς τὸ Πρυτανεῖον ἐκάλεσα. Καί, νὴ Δί', ἔγωγε καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γε, ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς· ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους, ὡς εὐδαίμονας καὶ λαμπρούς, εὐθὺς ἡγούμην ἐν τούτοις πρῶτος αὐτὸς περιεῖναι

dans la fleur de l'âge, distingué par sa figure, et ne prévoyant pas à quels soupçons expose la beauté, ait mené une conduite légère, il l'accuse de prostitution!

Mais parlons du décret d'invitation : j'avais presque oublié ce point, un des plus importants de ma cause. Au retour de la première ambassade, lorsqu'on ne citait encore ni discours ni démarche perfide, me conformant à l'usage légal, je présentai au conseil, puis à la sanction du peuple réuni pour délibérer sur la paix, un décret dans lequel je votais des éloges à la députation, et l'invitais au Prytanée. Par Jupiter! j'ai aussi logé chez moi les ambassadeurs de Philippe, ô Athéniens, et les ai splendidement traités. Témoin de l'honneur qu'ils attachent dans leur pays à étaler ce luxe éclatant, je me

Εἰ δέ τις,	Mais si quelqu'un
ὢν βελτίων ἑτέρου	étant mieux qu'un autre,
τὴν ἰδέαν ἐπὶ ἡλικίας,	par l'extérieur dans la jeunesse,
μὴ προειδόμενος τὴν ὑποψίαν	ne prévoyant pas le soupçon
ἐξ ἐκείνης τῆς ὄψεως,	*résultant* de ce *beau* visage,
ἐχρήσατο τῷ βίῳ μετὰ ταῦτα	usa de la vie ensuite
ἰταμώτερον,	trop inconsidérément,
κέκρικε τοῦτον	il a accusé celui-là
ὡς πεπορνευμένον.	comme prostitué.
Φέρε δή, εἴπω	Allons, que je parle
περὶ τῆς ἑστιάσεως	de l'invitation-au-repas
καὶ τοῦ ψηφίσματος.	et du décret *qui la contenait.* [ment
Ἃ ἔδει μάλιστά	*Les choses* qu'il fallait principale-
με εἰπεῖν πρὸς ὑμᾶς	moi dire (que j'exposasse) à vous,
παρῆλθον	je *les* ai passées,
μικροῦ γε.	peu *s'en faut* du moins.
Ἐγὼ γράφων τὸ προβούλευμα	Moi, écrivant le décret-préliminaire
ἐκείνης τῆς πρώτης πρεσβείας,	*relatif* à cette première ambassade,
καὶ πάλιν ἐν τῷ δήμῳ,	et encore devant le peuple,
οὐδενὸς οὔτε λόγου	aucune harangue
οὔτε ἀδικήματος παρὰ τούτων	ni prévarication de ces *gens-ci*
ὄντος πω φανεροῦ	n'étant encore publique
ταῖς ἐκκλησίαις,	dans les assemblées
ἐν αἷς ἠμέλλετε	dans lesquelles vous deviez
βουλεύεσθαι περὶ τῆς εἰρήνης,	délibérer sur la paix,
ποιῶν ἔθος τὸν νόμον,	faisant de coutume loi,
καὶ ἐπῄνεσα τούτους,	et je votai-des-éloges à eux,
καὶ ἐκάλεσα εἰς τὸ Πρυτανεῖον.	et je *les* invitai au Prytanée.
Καί, νὴ Δία,	Et, par Jupiter!
ἔγωγε καὶ ἐξένισα	moi je traitai aussi
τοὺς πρέσβεις	les ambassadeurs
παρὰ τοῦ Φιλίππου,	de Philippe
καὶ πάνυ γε λαμπρῶς,	même tout-à-fait splendidement,
ὦ ἄνδρες Ἀθηναῖοι·	ô hommes Athéniens,
ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς	car, après que j'eus vu eux
σεμνυνομένους ἐκεῖ	tirant-vanité là (en Macédoine)
καὶ ἐπὶ τοῖς τοιούτοις,	même de telles choses,
ὡς	comme *se montrant ainsi*
εὐδαίμονας καὶ λαμπρούς,	fortunés et opulents,
εὐθὺς ἡγούμην δεῖν	aussitôt je crus *qu'*il fallait

δεῖν αὐτῶν, καὶ μεγαλοψυχότερος φαίνεσθαι. Ταῦτα δὴ παρέξεται νῦν οὗτος λέγων· ὡς αὐτὸς ἐπῄνεσεν ἡμᾶς, καὶ αὐτὸς εἱστία τοὺς πρέσβεις· τὸ πότε οὐ προςδιορίζων. Ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι, καὶ φανεροὺς τούτους πεπρακότας ἑαυτοὺς γενέσθαι, ὅτ' ἄρτι μὲν ἧκον οἱ πρέσβεις τοπρῶτον, ἀκοῦσαι δὲ ἔδει τὸν δῆμον, τί λέγουσιν, οὐδέπω δὲ οὔθ' οὗτος συνερῶν δῆλος ἦν τῷ Φιλοκράτει, οὔτ' ἐκεῖνος τοιαῦτα γράψων. Ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι. Μετὰ ταῦτα δέ, οὐδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον, οὐδὲ κοινὸν γέγονε. Λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης, καὶ Ἀφόβη-

suis hâté de croire que je devais les vaincre en cela, et montrer plus de magnificence. L'accusé dira tout à l'heure : « Démosthène nous a décrété lui-même des éloges, lui-même a invité la députation ; » mais il ne distinguera point les dates. Or, c'était avant que l'État eût souffert quelque préjudice, avant que la corruption des députés fût manifeste ; c'était au retour de la première mission dont ils avaient à rendre compte au peuple ; c'était quand rien n'annonçait encore que Philocrate présenterait une motion coupable, ni qu'Eschine l'appuierait. Si donc il parle de mon décret, rappelez-vous qu'il est antérieur à leurs prévarications. Depuis cette époque, il n'y eut entre eux et moi, aucune liaison, aucune société. — Lis la déposition.

DÉPOSITION.

Philocharès et Aphobétos, frères d'Eschine, solliciteront peut-être

αὐτὸς πρῶτος περιεῖναι	moi-même le premier vaincre
αὐτῶν ἐν τούτοις,	eux en cela,
καὶ φαίνεσθαι	et me montrer
μεγαλοψυχότερος.	*encore* plus magnifique.
Οὗτος δὴ παρέξεται	Cet *accusé* alléguera donc
ταῦτα νῦν λέγων·	cela tout-à-l'heure, disant :
ὡς αὐτὸς ἀπῄνεσεν ἡμᾶς,	que lui (Démosthène) a loué nous,
καὶ αὐτὸς εἱστία	et lui-même a invité-à-un-repas
τοὺς πρέσβεις·	les députés;
οὐ προςδιορίζων	*il l'alléguera*, ne distinguant point
τὸ πότε.	le quand (la date).
Ταῦτα δὲ ἔστι πρὸ	Or, c'est avant [chose,
τοῦ τὴν πόλιν ἠδικῆσθαί τι,	*que* l'État eût été lésé en quelque
καὶ τούτους	et *avant que* ces *hommes*
γενέσθαι φανεροὺς	fussent reconnus
πεπρακότας ἑαυτούς,	ayant vendu eux-mêmes;
ὅτε ἄρτι μὲν οἱ πρέσβεις	*c'était* lorsque récemment les dé-
ἧκον	étaient revenus [putés
τὸ πρῶτον,	*pour* la première *fois*,
ἔδει δὲ	*lorsqu'*il fallait
τὸν δῆμον ἀκοῦσαι	*que* le peuple entendît
τί λέγουσιν,	ce qu'ils disent,
οὔτε οὗτος δὲ	*lorsque* ni cet *homme*
οὐδέπω ἦν δῆλος	n'était encore connu
συνερῶν τῷ Φιλοκράτει,	*comme* devant soutenir Philocrate,
οὔτε ἐκεῖνος	ni celui-ci [ses.
γράψων τοιαῦτα.	*comme* devant décréter de telles cho-
Ἂν δὴ λέγῃ ταῦτα,	Si donc *Eschine* dit cela,
μέμνησθε τοὺς χρόνους,	rappelez-vous les dates,
ὅτι εἰσὶ πρότεροι	qu'elles sont antérieures
τῶν ἀδικημάτων.	aux prévarications.
Μετὰ ταῦτα δέ, οὐδὲν γέγονεν	Mais depuis cela, rien n'a été
οἰκεῖον οὐδὲ κοινὸν	intime ni commun
ἐμοὶ πρὸς τούτους.	à moi avec eux.
Λέγε τὴν μαρτυρίαν.	Lis la déposition.

ΜΑΡΤΥΡΙΑ.	DÉPOSITION.
Ἴσως τοίνυν Φιλοχάρης	Or peut-être Philocharès
καὶ Ἀφόβητος	et Aphobétos,
ἀδελφὸς	*l'un et l'autre* frère *d'Eschine*,

τος. Πρὸς οὓς ἀμφοτέρους ὑμῖν πολλὰ καὶ δίκαιά ἐστιν εἰπεῖν. Ἀνάγκη δέ, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ παῤῥησίας διαλεχθῆναι, μηδὲν ὑποστελλόμενον. «Ἡμεῖς, Ἀφόβητε, καὶ σύ, Φιλόχαρες, ἴσμεν σὲ μὲν τὰς ἀλαβαστοθήκας γράφοντα, καὶ τὰ τύμπανα[1], τούτους δὲ ὑπογραμματέας, καὶ τοὺς τυχόντας ἀνθρώπους (καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδέ γε στρατηγίας ἄξια), πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν. Εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκει μηδείς, οὐχ ἡμεῖς χάριν ὑμῖν οὐδενός, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων. Πολλοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες, ἡμεῖς ὑμᾶς ἐσεμνύνομεν. Εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς, οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως, ἢ σώζοισθε; » ἐγὼ μὲν οἶμαι πολλῷ. Βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ

pour lui. A tous deux vous pouvez opposer de nombreuses et solides raisons. Répondez-leur, il le faut, sans feinte, sans ménagement : « Aphobétos, et toi, Philocharès, peintre d'armoires et de tambours, vous et les vôtres, greffiers subalternes et petites gens (ce qui, sans être un crime, ne donne pas de titre au grade de général), nous avons daigné vous confier les plus honorables emplois, des ambassades, des commandements militaires. Aucun de vous n'eût-il prévariqué, la reconnaissance ne serait pas notre devoir, mais le vôtre. Que de citoyens, plus dignes, écartés par nous, pour vous élever si haut ! Mais si, dans les fonctions mêmes dont vous fûtes honorés, l'un de vous a commis de graves attentats, notre animadversion ne vous est-elle pas due, bien plutôt que notre indulgence ? » Telle est ma pensée. Ils vous assiégeront peut-être de leurs grosses voix et de

συνερεῖ αὐτῷ.	intercéderont pour lui.
Πρὸς οὓς ἀμφοτέρους	Auxquels deux (à ces deux hommes)
ἔστιν ὑμῖν εἰπεῖν	il est *possible* à vous de répondre
πολλὰ καὶ δίκαια.	beaucoup de choses justes.
Ἀνάγκη δέ, ὦ ἄνδρες Ἀθηναῖοι,	Et force *est*, ô hommes Athéniens,
διαλεχθῆναι	de dire-en-détail *cela*
μετὰ παῤῥησίας,	avec franc-parler,
ὑποστελλόμενον μηδέν.	ne laissant-en-arrière rien.
« Ἀφόβητε, καὶ σύ, Φιλόχαρες,	« Aphobétos, et toi, Philocharès,
ἡμεῖς ἴσμεν σὲ μὲν γράφοντα	nous savons *que* tu peins [parfums
τὰς ἀλαβαστοθήκας	les armoires-à-mettre-les-vases-de-
καὶ τὰ τύμπανα,	et les tambours,
ἠξιώσαμεν δὲ πρεσβειῶν,	et nous avons honoré d'ambassades,
στρατηγιῶν,	des fonctions-de-général, [blique,
τῶν μεγίστων τιμῶν,	des plus grands honneurs *de la Répu-*
τούτους ὑπογραμματέας,	ces *hommes*, greffiers-subalternes,
καὶ ἀνθρώπους τοὺς τυχόντας	et gens du commun
(καὶ ταῦτα ἄξια	(et cela *n'est* méritant
οὐδεμιᾶς κακίας,	aucun reproche, [néralat).
ἀλλὰ οὐδέ γε στρατηγίας).	mais *ne mérite pas* non plus le gé-
Εἰ τοίνυν μηδεὶς ὑμῶν	Si donc aucun de vous
ἠδίκει μηδέν,	*n'*a prévariqué en rien,
ἡμεῖς οὐ χάριν	nous n'*en avons* de la reconnaissance
ὑμῖν οὐδενός, ἀλλὰ ὑμεῖς	pour vous nullement, mais vous
ἂν ἔχοιτε	vous auriez *obligation*
δικαίως ἡμῖν τούτων.	avec-justice à nous de cela.
Ἡμεῖς γάρ,	Nous, en effet,
παρέντες πολλοὺς	laissant-là beaucoup de *candidats*
μᾶλλον ἀξίους ὑμῶν τιμᾶσθαι,	plus dignes que vous d'être honorés,
ἐσεμνύνομεν ὑμᾶς.	nous avons glorifié vous.
Εἰ δὲ δή καί τις ὑμῶν	Si donc même quelqu'un de vous
ἠδίκηκεν ἐν αὐτοῖς	a prévariqué dans les *charges* mêmes
οἷς ἐτιμᾶσθε,	dont vous étiez honorés,
καὶ ταῦτα τοιαῦτα,	et cela en *des cas* tels (si graves),
πόσῳ μᾶλλον δικαίως	combien plus justement
ἂν μισοῖσθε, ἢ σώζοισθε; »	seriez-vous haïs que ménagés ? »
ἐγὼ μὲν οἶμαι πολλῷ.	moi, je crois *que ce serait* beaucoup.
Βιάσονται τοίνυν ἴσως,	Or, malgré-cela, ils feront-violence
ὄντες μεγαλόφωνοι	étant forts-en-gueule
καὶ ἀναιδεῖς,	et impudents,

ἀναιδεῖς ὄντες, καὶ τό, συγγνώμη ἀδελφῷ βοηθεῖν, προςειληφότες. Ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖνο ἐνθυμούμενοι, ὅτι τούτοις μὲν τούτου προςήκει φροντίζειν· ὑμῖν δὲ τῶν νόμων, καὶ ὅλης τῆς πόλεως, καὶ παρὰ πάντα, τῶν ὅρκων, οὓς αὐτοὶ κάθησθε ὀμωμοκότες. Καὶ γάρ, εἴ τινων δεδέηνται τουτονὶ σώζειν, πότερ', ἂν μηδὲν ἀδικῶν φαίνηται τὴν πόλιν, ἢ κἂν ἀδικῶν, σκοπεῖτε. Εἰ μὲν γάρ, ἂν μηδὲν ἀδικῶν, κἀγώ φημι δεῖν. Εἰ δ' ὅλως, κἂν ὁτιοῦν, ἐπιορκεῖν δεδέηνται. Οὐδὲ γάρ, εἰ κρύβδην ἐστὶν ἡ ψῆφος, λήσει τοὺς θεούς, ἀλλὰ τοῦτο καὶ πάντων ἄριστα ὁ τιθεὶς τὸν νόμον εἶδε τοῦ κρύβδην ψηφίζεσθαι. Διὰ τί; ὅτι τούτων[1] μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κεχαρισμένον ὑμῶν· οἱ θεοὶ δὲ εἴσονται, καὶ τὸ δαιμόνιον, τὸν μὴ τὰ δίκαια ψηφισά–

leur vergogne; ils s'armeront de ce mot : *Clémence à qui intercède pour un frère!* Mais vous, ne capitulez point! Pensez que, s'ils ont à s'inquiéter de cet homme, votre sollicitude, à vous, doit se porter sur les lois, sur l'État en général, et, avant tout, sur le serment que vous avez prêté en siégeant ici. Ils vous supplient d'absoudre un frère! Demandez-leur si c'est comme innocent, ou comme coupable. Comme innocent? je dis, avec eux : « Absolvez, il le faut! » Comme coupable? c'est un parjure qu'ils mendient. Vos suffrages ont beau être secrets, ils n'échapperont pas aux dieux; et ce mystère du scrutin est un trait de sagesse dans le législateur. Comment cela? c'est que nul suppliant ne saura quel juge lui a été favorable; mais les dieux, mais le destin sauront qui a donné un vote criminel. Or, il

καὶ προςειληφότες
τό, συγγνώμη
βοηθεῖν ἀδελφῷ.
Ὑμεῖς δὲ μὴ ἡττᾶσθε,
ἐνθυμούμενοι ἐκεῖνο,
ὅτι προςήκει τούτοις μὲν
φροντίζειν τούτου·
ὑμῖν δὲ
τῶν νόμων,
καὶ ὅλης τῆς πόλεως,
καὶ παρὰ πάντα, τῶν ὅρκων,
οὓς αὐτοὶ ὀμωμοκότες
κάθησθε.
Καὶ γάρ,
εἰ δεδέηνταί τινων
σώζειν τουτονί,
σκοπεῖτε πότερα,
ἂν φαίνηται ἀδικῶν μηδὲν
τὴν πόλιν,
ἢ καὶ ἂν ἀδικῶν.
Εἰ μὲν γάρ,
ἂν ἀδικῶν μηδέν,
καὶ ἐγώ φημι δεῖν.
Εἰ δὲ ὅλως,
καὶ ἂν ὁτιοῦν,
δεδέηνται ἐπιορκεῖν.
Εἰ γὰρ ἡ ψῆφος
ἐστὶ κρύβδην,
οὐδὲ λησει τοὺς θεούς,
ἀλλὰ ὁ τιθεὶς τὸν νόμον
τοῦ ψηφίζεσθαι κρύβδην
εἶδε τοῦτο
καὶ ἄριστα πάντων.
Διὰ τί; ὅτι οὐδεὶς
τούτων μὲν
εἴσεται τὸν ὑμῶν
κεχαρισμένον ἑαυτῷ·
οἱ θεοὶ δὲ καὶ τὸ δαιμόνιον
εἴσονται τὸν μὴ ψηφισάμενον
τὰ δίκαια.

et ayant pris-pour-renfort
le *mot*, indulgence
au sujet de secourir un frère.
Pour vous, n'ayez-pas-le-dessous,
vous-mettant-dans-l'esprit ceci,
savoir, qu'il sied à ceux-ci
de s'inquiéter de cet *homme;*
mais *qu'il sied* à vous
de vous inquiéter des lois,
et de toute la République,
et, outre cela, des serments,
que vous-mêmes ayant juré
vous siégez *à ce tribunal.*
Et en effet,
s'ils prient quelques *juges*
de sauver cet *accusé,*
examinez si *c'est* dans le cas où
il paraîtrait nuisant (ne nuire) nulle-
à la cité, [ment
ou même nuisant (lui nuire).
Car, si *c'est* dans le cas où *il paraî-*
ne nuisant nullement, [*trait*
moi aussi je dis *qu'*il faut *l'absoudre.*
Mais, si *c'est* généralement,
et quoi qu'*il ait fait,* [riez.
ils demandent *que vous* vous parju-
Car, si le suffrage
est secrètement (secret),
il ne sera pas ignoré des dieux,
mais celui qui a porté la loi
du voter secrètement
conçut cela,
même le plus sagement de tout.
Pourquoi? parce que nul
de ceux-ci (des solliciteurs)
ne connaîtra celui de vous
qui *l'*aura obligé lui-même :
mais les dieux et le destin
sauront celui qui n'aura pas voté
ce *qui est* juste.

μενον. Παρ' ὧν κρεῖττόν ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς παισί, καὶ ἑαυτῷ, τὰ δίκαια γνόντα καὶ τὰ προσήκοντα, περιποιήσασθαι, ἢ τὴν ἀφανῆ καὶ ἄδηλον τούτοις χάριν καταθέσθαι, καὶ ἀφεῖναι τοῦτον, ὃς αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκε.

Τίνα γάρ, Αἰσχίνη, μάρτυρα μείζω παράσχωμαι τοῦ πολλὰ καὶ δεινὰ πεπρεσβεῦσθαί σοι, ἢ σὲ κατὰ σεαυτοῦ; ὃς γὰρ ᾠήθης χρῆναι τὸν φανερόν τι ποιῆσαι βουληθέντα τῶν σοὶ πεπρεσβευμένων τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλον ὅτι δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοινθ' οὗτοι τὰ πεπραγμένα σοι. Τοῦτο τοίνυν, ἄνπερ ὑμεῖς εὖ φρονῆτε, καθ' αὑτοῦ συμβήσεται τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ τοῦθ', ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων, ἀλλ' ὅτι καὶ

vaut mieux que chacun de vous, en prononçant selon la justice et le devoir, ménage la protection du ciel à son avenir et à celui de ses enfants, que de jeter une faveur furtive à des solliciteurs, et d'acquitter un coupable qui a déposé contre lui-même.

En effet, Eschine, par quel témoignage plus fort que le tien puis-je prouver tous les crimes de ton ambassade ? Toi qui as jugé à propos d'envelopper des plus cruelles infortunes le citoyen disposé à dévoiler une partie de ta mission, tu t'attendais sans doute à de grandes rigueurs pour toi-même, si ceux qui m'écoutent eussent appris ta conduite. Ainsi, Athéniens, avec un sens droit, vous ferez retomber son accusation sur sa tête, non-seulement comme une preuve accablante de ses prévarications, mais comme renfermant des paroles qui

Παρὰ	Auprès
ὧν	desquels (des dieux et du destin)
κρεῖττόν ἐστιν ἑκάστῳ	mieux est pour chacun *des juges*
περιποιήσασθαι	de ménager-abondamment
τὰς ἀγαθὰς ἐλπίδας	de bonnes espérances
τοῖς παισὶ καὶ ἑαυτῷ,	pour ses enfants et pour lui-même,
γνόντα τὰ δίκαια	en décidant des choses justes
καὶ τὰ προσήκοντα,	et convenables, [solliciteurs)
ἢ καταθέσθαι τούτοις	que de placer-près-de ceux-ci (des
τὴν χάριν ἀφανῆ καὶ ἄδηλον,	un service obscur et ignoré,
καὶ ἀφεῖναι τοῦτον,	et d'absoudre cet *homme*,
ὃς αὐτὸς	qui lui-même
καταμεμαρτύρηκεν ἑαυτοῦ.	a déposé-contre lui-même.
Τίνα γὰρ μάρτυρα μείζω	Car quel témoin plus grand
παράσχωμαι	présenterais-je, [*tions*
τοῦ πολλὰ	*pour prouver que* beaucoup d'*ac-*
καὶ δεινὰ	même très-coupables
πεπρεσβεῦσθαί	ont été commises-dans-l'ambassade
σοι,	par toi,
ἢ σέ, Αἰσχίνη, κατὰ σεαυτοῦ;	que toi, Eschine, contre toi-même ?
δῆλον γὰρ ὅτι	*il est* évident, en effet, que
ὃς ᾠήθης χρῆναι	*toi*, qui pensas *qu*'il fallait
περιβαλεῖν συμφορᾷ	envelopper d'un malheur
τηλικαύτῃ καὶ τοιαύτῃ	si grand et tel
τὸν βουληθέντα	celui qui voulut
ποιῆσαι φανερόν τι	rendre manifeste quelqu'un
τῶν πεπρεσβευμένων	des actes-commis-dans-l'ambassade
σοί,	par toi,
ἤλπιζες ἂν παθεῖν σαυτόν	tu t'attendais à souffrir toi-même
τι δεινόν,	quelque *condamnation* grave,
εἰ οὗτοι πύθοιντο	si ces *juges* avaient appris
τὰ πεπραγμένα σοι.	les actes-commis par toi. [ment,
Ἄνπερ τοίνυν ὑμεῖς εὖ φρονῆτε,	Si donc vous, vous pensez sensé-
τοῦτο συμβήσεται	cela se trouvera
πεπρᾶχθαι τούτῳ	avoir été fait par lui
κατὰ αὑτοῦ, οὐ μόνον	contre lui-même, non-seulement
κατὰ τοῦτο ὅτι ἐστὶ σημεῖον	en ce que *c*'est l'indice
παμμέγεθες	énorme
τῶν πεπρεσβευμένων,	des faits-de-l'ambassade,
ἀλλὰ ὅτι καὶ	mais encore parce que

κατηγορῶν ἐκείνου, τοὺς λόγους εἶπεν, οἳ κατ' αὐτοῦ νῦν ὑπάρξουσιν· ἃ γὰρ ὡρίσω σὺ δίκαια, ὅτε Τίμαρχον ἔκρινες, ταὐτὰ δήπου ταῦτα καὶ κατὰ σοῦ προςήκει τοῖς ἄλλοις ἰσχύειν. Ἔλεγες τοίνυν τότε πρὸς τοὺς δικαστάς, ὅτι ἀπολογήσεται δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ, καὶ κατηγορήσει τῶν ἐμοὶ πεπρεσβευμένων. Εἶτα, ἂν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται· καὶ περιϊὼν ἐρεῖ· « Πῶς; τί; τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως, ᾠχόμην τὸ πρᾶγμα αὐτῶν ὑφελόμενος[1]. » Μὴ σύ γε, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζῃ, ὑπὲρ τούτων ἀπολογοῦ. Τότε δ', ἡνίκα ἐκεῖνον ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ λέγειν ὅ τι ἠβούλου.

Ἀλλὰ μήν, καὶ ἐπὶ τοῖς δικασταῖς ἔλεγες, οὐδένα μάρτυρα ἔχων[2], ἐφ' οἷς ἔκρινες τὸν ἄνθρωπον, παρασχέσθαι·

Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ

vont aujourd'hui se tourner contre lui-même; car les moyens que tu as établis en poursuivant Timarque, ô Eschine, n'auront sans doute pas moins de force contre toi dans une autre bouche. Tu disais alors au tribunal : « Démosthène, pour repousser l'accusation, attaquera mon ambassade; et, s'il parvient à vous détourner de la cause, il triomphera; il ira disant partout : « Qu'en pensez-vous? j'ai dérouté les juges, et, avançant toujours, je leur ai escamoté l'affaire. » N'agis donc pas ainsi. Que mon attaque soit le point précis de ta défense. Laisse là ton plaidoyer contre Timarque, et les vagues inculpations, et les écarts.

A défaut de témoins pour faire condamner l'accusé, tu allais jusqu'à dire aux juges :

Par la puissante voix des cent peuples formée,

κατηγορῶν ἐκείνου,	en accusant cet *homme*,
εἶπε τοὺς λόγους	il a prononcé des paroles [lui ;
οἳ ὑπάρξουσι νῦν κατὰ αὐτοῦ·	qui se trouveront maintenant contre
προςήκει γὰρ δήπου	car il convient certainement
τὰ αὐτὰ ταῦτα δίκαια	*que* ces mêmes moyens-de-droit
ἃ σὺ ὡρίσω	que tu spécifias
ὅτε ἔκρινες Τίμαρχον,	lorsque tu faisais-juger Timarque,
ἰσχύειν τοῖς ἄλλοις κατὰ σοῦ.	aient-force chez les autres contre toi.
Ἔλεγες τοίνυν τότε	Or, tu disais alors
πρὸς τοὺς δικαστὰς	aux juges
ὅτι Δημοσθένης δὲ ἀπολογήσεται	que Démosthène fera-l'apologie
ὑπὲρ αὐτοῦ,	pour lui,
καὶ κατηγορήσει	et accusera
τῶν πεπρεσβευμένων	les actes commis-dans-l'ambassade
ἐμοί.	par moi (par Eschine).
Εἶτα, ἂν ἀπαγάγῃ ὑμᾶς	Ensuite, s'il a éloigné vous
τῷ λόγῳ, νεανιεύσεται·	du sujet-du-discours, il triomphera;
καὶ περιϊὼν ἐρεῖ·	et, allant çà et là, il dira :
« Πῶς;	« Comment *trouvez-vous cela ?*
τί;	qu'*en pensez-vous ?*
ἀπαγαγὼν τοὺς δικαστὰς	ayant éloigné les juges
ἀπὸ τῆς ὑποθέσεως,	de la matière *du procès*,
ᾠχόμην	je m'en suis allé
ὑφελόμενος αὐτῶν	ayant (après avoir) escamoté à eux
τὸ πρᾶγμα. »	l'affaire. »
Μὴ σύ γε,	Toi, du moins, ne *fais pas ainsi*,
ἀλλὰ ἀπολογοῦ ὑπὲρ τούτων	mais établis-la-défense sur ces *faits*
ὑπὲρ ὧν ἀγωνίζῃ.	sur lesquels tu plaides.
Τότε δέ, ἡνίκα ἔκρινες	Alors que tu mettais-en-jugement
ἐκεῖνον,	cet *homme*,
ἐξῆν σοι κατηγορεῖν	il était-loisible à toi d'accuser
καὶ λέγειν ὅ τι ἠβούλου.	et de dire ce que tu voulais.
Ἀλλὰ μήν, καὶ ἔλεγες	D'ailleurs, tu disais aussi
ἐπὶ τοῖς δικασταῖς,	aux juges,
ἔχων παρασχέσθαι	*n'*ayant à citer
οὐδένα μάρτυρα	aucun témoin
ἐπὶ οἷς	*des faits* pour lesquels
ἔκρινες τὸν ἄνθρωπον·	tu faisais-juger *cet* homme :
Φήμη δέ τις	La Renommée
οὐκ ἀπόλλυται πάμπαν,	ne périt pas du tout,

πολλοὶ φημίξωσι. Θεός νυ τίς ἐστι καὶ αὐτή.

Οὐκοῦν, Αἰσχίνη, καὶ σὲ πάντες οὗτοι χρήματα φασὶν ἐκ τῆς πρεσβείας εἰληφέναι. Ὥςτε καὶ κατὰ σοῦ δήπουθεν :

Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι.

Ὅσῳ γὰρ αὖ σε πλείους, ἢ ἐκεῖνον, αἰτιῶνται, θεώρησον, ὡς ἔχει. Τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόςχωροι παντες ἐγίγνωσκον· ὑμᾶς δέ, τοὺς πρέσβεις, οὐδεὶς Ἑλλήνων, οὐδὲ βαρβάρων ἔσθ', ὅςτις οὐ φησὶ χρήματα ἐκ τῆς πρεσβείας εἰληφήναι. Ὥςτε, εἴπερ ἐστὶν ἀληθὴς ἡ Φήμη, καὶ καθ' ὑμῶν ἐστιν ἡ παρὰ τῶν πολλῶν. Ἣν ὅτι πιστὴν εἶναι δεῖ, καὶ « θεός νυ τίς ἐστι καὶ αὐτή, » καὶ ὅτι σοφός ἦν ὁ ποιητής, ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.

Ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλήξας ἐπέραινεν. Οἷον·

Ὅςτις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνωσκων, ὅτ.

Qui peut frapper de mort l'agile Renommée?
Elle est au rang des dieux.

Or, Eschine, tout le monde répète que ta mission a été vénale; écoute donc ces mots à ton tour :

Par la puissante voix des cent peuples formée,
Qui peut frapper de mort l'agile Renommée?

et juge combien plus de clameurs s'élèvent contre toi! Tous les peuples voisins ne connaissaient pas Timarque : mais vous, députés, il n'est ni Hellène, ni Barbare qui ne dise que vous avez reçu de l'or. Si donc la Renommée est véridique, elle l'est aussi, cette voix des peuples, quand elle vous dénonce. Déesse, elle commande notre croyance : c'est toi qui l'as dit; c'est toi qui as signalé le grand sens du poëte, auteur de ces vers.

Des ïambes qu'il a recueillis lui ont encore fourni une induction:

A qui des gens impurs chérit la compagnie

ἥντινα πολλοὶ λαοὶ	*elle* que beaucoup de peuples
φημίξωσι.	forment-par-leurs-discours.
Καὶ αὐτή νύ	Elle aussi certes
ἐστί τις θεός.	est une *puissante* déesse.
Οὐκοῦν, Αἰσχίνη, πάντες οὗτοι	Or, Eschine, tous ces *gens-ci*
φασὶ καὶ σὲ εἰληφέναι	disent *que* tu as reçu [de.
χρήματα ἐκ τῆς πρεσβείας.	des présents par-suite-de l'ambassa-
Ὥστε	Tellement-que,
καὶ κατὰ σοῦ δήπουθεν	contre toi aussi certes, *on dira :*
Φήμη δέ τις	La Renommée
οὐκ ἀπόλλυται πάμπαν,	ne périt pas du tout,
ἥντινα πολλοὶ λαοὶ	*elle* que beaucoup de peuples
φημίξωσιν.	forment-par-leurs-discours.
Θεώρησον γὰρ	Examine, en effet,
ὅσῳ πλείους αἰτιῶνται	combien plus de *gens* accusent
αὖ σε, ἢ ἐκεῖνον,	à-ton-tour toi, que lui (que Timar-
ὡς ἔχει.	*examine* comme *cela* est. [que),
Οὐδὲ πάντες μὲν οἱ πρόσχωροι	Pas même tous *nos* voisins
ἐγίγνωσκον τὸν Τίμαρχον·	*ne* connaissaient Timarque :
οὐδεὶς δὲ Ἑλλήνων	mais nul des Grecs
οὐδὲ βαρβάρων	ni des Barbares
ἔστιν, ὅστις οὐ φησὶν	*n'*est, qui ne dise
ὑμᾶς τοὺς πρέσβεις	*que* vous députés
εἰληφέναι χρήματα	avez reçu des présents
ἐκ τῆς πρεσβείας.	pour-fait-de l'ambassade.
Ὥστε, εἴπερ ἡ Φήμη	Si-bien-que, si la Renommée
ἐστὶν ἀληθής,	est véridique, [nombre
ἡ παρὰ τῶν πολλῶν	la *Renommée formée* par le grand
ἐστι καὶ κατὰ ὑμῶν.	est aussi contre vous.
Ἣν σὺ αὐτὸς διώρισας	Laquelle toi-même as affirmé
ὅτι δεῖ εἶναι πιστήν,	qu'il faut *qu'*elle soit digne-de-foi,
καὶ « καὶ αὐτή νύ	et *que* « elle aussi certes
ἐστί τις θεός, »	est une *puissante* déesse, »
καὶ ὅτι ὁ ποιητὴς	et que le poëte
ὁ ποιήσας ταῦτα	qui a fait ces *vers*
ἦν σοφός.	était judicieux. [*tions,*
Ἔτι τοίνυν ἐπέραινε	Or il continuait encore *ses cita-*
συλλέξας δήπου ἰαμβεῖα.	ayant réuni des ïambes.
Οἷον·	Comme, *par exemple :*
« Οὐ δὲ πώποτε ἠρώτησα	« Mais jamais je ne m'informai

τοιοῦτός ἐστιν οἷςπερ ἥδεται ξυνών.

« Εἶτα τὸν εἰς τοὺς ὄρνεις εἰςιόντα[1], καὶ μετὰ Πιτταλάκου περιϊόντα, καὶ τοιαῦτ' εἰπών, ἀγνοεῖτ', ἔφη, ποῖόν τινα ἡγεῖσθαι δεῖ ; » Οὐκοῦν, Αἰσχίνη, καὶ κατὰ σοῦ τὰ ἰαμβεῖα ταῦθ' ἁρμόσει νῦν ἐμοί. Κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς καὶ προςηκόντως ἐρῶ. Ὅςτις δ' ὁμιλῶν ἥδεται, καὶ ταῦτα πρεσβεύων, Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γιγνώσκων, ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥςπερ Φιλοκράτης, ὁ ὁμολογῶν. Λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους[2], καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν ἔνοχος. Ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα ἐκ Φοίνικός ἐστιν Εὐριπίδου. Τοῦτο δὲ τὸ δρᾶμα οὐδὲ πώποτε, οὔτε Θεόδωρος, οὔτε Ἀριστόδημος ὑπεκρίνατο, οἷς οὗτος

Je ne dis point : « Qu'es-tu ? » Tels amis, telle vie.

« Eh bien, disait-il, d'un habitué des combats d'oiseaux, d'un homme qu'on voit partout avec un Pittalacos, quelle idée faut-il avoir ? L'ignorez-vous ? » Ces mêmes vers, ô Eschine, viennent aujourd'hui t'accuser par ma voix ; et ici, du moins, la citation aura de l'à-propos. A qui, dans une ambassade, chérit la compagnie d'un Philocrate, jamais je ne dis : Qu'as-tu fait ? Je sais qu'un tel homme a reçu de l'or, comme Philocrate, qui l'avoue. Mais cet Eschine, qui s'efforce d'outrager les autres par les surnoms de sophistes et de faiseurs de plaidoyers, attire incontestablement l'injure sur lui-même. Les ïambes qu'il a cités sont du *Phénix* d'Euripide, pièce qui ne fut jamais représentée ni par Théodore, ni par Aristodème, sous lesquels

ὅςτις ἀνὴρ ἥδεται	*de* l'homme qui se plaît [chants,
ὁμιλῶν κακοῖς,	fréquentant (à fréquenter) les mé-
γιγνώσκων ὅτι	sachant (parce que je sais) que
ἐστὶ τοιοῦτος οἷςπερ	il est tel *que ceux* avec lesquels
ἥδεται ξυνών. »	il se plaît étant (à être)-en-société. »
Καὶ εἰπὼν τοιαῦτα, ἔφη,	Et, ayant cité de tels *vers*, il dit :
« Εἶτα ἀγνοεῖτε	« Quoi donc ! ignorez-vous
ποῖόν τινα δεῖ ἡγεῖσθαι	quel *homme* il faut croire *qu'est*
τὸν εἰςιόντα	celui qui va
εἰς τοὺς ὄρνεις,	aux oiseaux (aux combats de coqs),
καὶ περιϊόντα μετὰ Πιτταλάκου ;	et qui se promène avec Pittalacos?
Οὐκοῦν, Αἰσχίνη,	Eh bien ! Eschine,
τὰ ἰαμβεῖα ταῦτα	ces mêmes ïambes
ἁρμόσει νῦν	conviendront (seront cités) mainte-
ἐμοὶ	à moi (par moi) [nant
καὶ κατὰ σοῦ.	aussi contre toi.
Καὶ ἂν ἐγὼ λέγω πρὸς τούτους,	Et, si je *les* dis à ces *auditeurs*,
ἐρῶ ὀρθῶς	je parlerai exactement
καὶ προςηκόντως.	et pertinemment.
Οὐ δὲ πώποτε ἠρώτησα	Jamais je ne m'informai
ὅςτις ἥδεται	*de* quiconque se plaît [te,
ὁμιλῶν Φιλοκράτει,	fréquentant (à fréquenter) Philocra-
καὶ ταῦτα πρεσβεύων,	et cela, remplissant-une-ambassade,
γιγνώσκων	sachant (parce que je sais)
ὅτι οὗτος	que cet *homme*
εἴληφεν ἀργύριον,	a reçu de l'argent,
ὥςπερ Φιλοκράτης,	comme Philocrate,
ὁ ὁμολογῶν.	*l'*avouant (qui en convient).
Αὐτὸς τοίνυν	Celui-ci donc,
ἀποκαλῶν τοὺς ἄλλους	qui surnomme les autres
λογογράφους καὶ σοφιστάς,	faiseurs-de-mémoires et sophistes,
καὶ πειρώμενος ὑβρίζειν,	et qui s'efforce de *les* outrager,
ἐξελεγχθήσεται ὢν ἔνοχος	sera convaincu étant (d'être) exposé
τούτοις.	à ces *mêmes qualifications.*
Ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖά	Car ces ïambes
ἐστιν ἐκ Φοίνικος Εὐριπίδου.	sont du Phénix d'Euripide.
Οὐδὲ πώποτε δὲ οὔτε Θεόδωρος	Jamais ni Théodore
οὔτε Ἀριστόδημος ὑπεκρίνατο	ni Aristodème ne joua
τοῦτο τὸ δρᾶμα,	cette pièce-de-théâtre,
οἷς οὗτος	*acteurs* avec lesquels celui-ci

τὰ τρίτα λέγων διετέλεσεν· ἀλλὰ Μόλων ἠγωνίζετο, καὶ εἴ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην δὲ Σοφοκλέους πολλάκις μὲν Θεόδωρος, πολλάκις δὲ Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ πεποιημένα ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις οὗτος εἰρηκώς, καὶ ἀκριβῶς ἐξεπιστάμενος, παρέλιπεν. Ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἐν ἅπασι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν, ὥςπερ γέρας τι, τοῖς τριταγωνισταῖς, τὸ τοὺς τυράννους, καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας, εἰςιέναι. Ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθε, ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ, ἃ οὔτε πρὸς αὑτὸν οὗτος ὑπὲρ τῆς πρεσβείας διελέχθη, οὔτε πρὸς τοὺς δικαστὰς εἶπε. Λέγε.

ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ ΕΞ ΑΝΤΙΓΟΝΗΣ.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν

il a constamment rempli les troisièmes rôles; mais par Molon et quelques autres de nos anciens acteurs. Souvent, au contraire, Théodore, souvent Aristodème ont joué *l'Antigone* de Sophocle; souvent Eschine en a déclamé les beaux vers, si instructifs pour Athènes; et il ne les a pas rapportés, quoiqu'il les sût très-bien. Car, vous ne l'ignorez point, dans toutes les tragédies les acteurs du troisième ordre peuvent, par faveur spéciale, paraître sur la scène en rois et le sceptre à la main. Or, voyez comment, dans cette pièce, le poëte fait parler Créon Eschine : l'ambassadeur ne s'est pas appliqué les paroles du tragédien; l'accusateur de Timarque ne les a pas citées aux juges. — Lis.

VERS DE L'ANTIGONE DE SOPHOCLE.

Tant qu'on ne l'a pas vu manier le pouvoir,
Comment juger un homme, et ce qu'il peut valoir?

διετέλεσε	passa-beaucoup-de-temps
λέγων τὰ τρίτα·	disant les troisièmes *rôles ;*
ἀλλὰ Μόλων ἠγωνίζετο,	mais Molon jouait *Phénix,*
καὶ εἰ δή τις ἄλλος	et peut-être aussi quelque autre
τῶν παλαιῶν ὑποκριτῶν.	des anciens acteurs *le jouait.*
Θεόδωρος μὲν πολλάκις,	Théodore, d'une-part, souvent,
Ἀριστόδημος δὲ πολλάκις	Aristodème, d'autre-part, souvent
ὑποκέκριται Ἀντιγόνην	a joué l'Antigone
Σοφοκλέους,	de Sophocle,
ἐν ᾗ	*tragédie* dans laquelle
οὗτος εἰρηκὼς πολλάκις	cet *homme* ayant récité souvent
καὶ ἐξεπιστάμενος ἀκριβῶς	et sachant-par-cœur exactement
ἰαμβεῖα πεποιημένα	des vers-ïambiques faits
καλῶς καὶ συμφερόντως ὑμῖν,	bien et utilement pour vous,
παρέλιπεν.	*les* a passés-sous-silence.
Ἴστε γὰρ δήπου τοῦτο,	Car vous savez certainement ceci,
ὅτι ἐν ἅπασι τοῖς δράμασι	que, dans tous les drames
τοῖς τραγικοῖς,	tragiques,
τὸ εἰσιέναι	faire-une-entrée-de-scène
τοὺς τυράννους	*en* tyrans [tres,
καὶ τοὺς ἔχοντας τὰ σκῆπτρα	et *en personnages* ayant des scep-
ἐστὶν ἐξαίρετον,	est extraordinairement-permis,
ὥσπερ τι γέρας,	comme une récompense,
τοῖς τριταγωνισταῖς.	aux acteurs-des-troisièmes-rôles.
Σκέψασθε τοίνυν	Or examinez
ἐν τῷ δράματι τούτῳ	dans cette pièce-de-théâtre
ταῦτα, οἷα	ces *vers*, quels *ils sont,*
ὁ Κρέων Αἰσχίνης λέγων	*lesquels* Créon Eschine disant
πεποίηται τῷ ποιητῇ,	ont été faits par le poëte ;
ἃ οὔτε οὗτος διελέχθη πρὸς αὑτὸν	lesquels ni cet *accusé* n'a dits à lui-
ὑπὲρ τῆς πρεσβείας,	au sujet de l'ambassade, [même
οὔτε εἶπε	ni il n'a cités
πρὸς τοὺς δικαστάς.	aux juges *de Timocrate.*
Λέγε.	Lis.

ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ ΕΞ ΑΝΤΙΓΟΝΗΣ.	VERS-IAMBIQUES DE SOPHOCLE, *tirés* DE L'ANTIGONE.

Ἀμήχανον δὲ	*Il est* impossible
ἐκμαθεῖν	d'apprendre-à-connaître
ψυχήν τε καὶ φρόνημα	et l'âme et les sentiments,

ἀρχαῖς τε καὶ νόμοισιν ἐντριϐὴς φανῇ.
Ἐμοὶ γὰρ ὅςτις πᾶσαν εὐθύνων πόλιν,
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόϐου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
Καὶ μείζον' ὅςτις ἀντὶ τῆς αὐτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
Ἐγὼ γάρ, ἴστω Ζεύς, ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυςμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.

Τούτων Αἰσχίνης οὐδὲν εἶπε πρὸς αὐτὸν ἐν τῇ πρεσϐείᾳ· ἀλλ' ἀντὶ μὲν τῆς πόλεως, τὴν Φιλίππου ξενίαν, καὶ φιλίαν, πολλῷ καὶ μείζονα ἡγήσατο αὐτῷ, καὶ λυσιτελεστέραν, ἐῤῥῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ. Τὴν δὲ ἄτην ὁρῶν στείχουσαν ὁμοῦ,

Comment lire en son cœur, sonder son caractère?
Écoutez de Créon la parole sincère,
O Thébains ! il vous dit : Le chef de la cité,
S'il ne suit le sentier où marche l'équité,
Si l'espoir ou la peur clôt sa bouche timide,
Un tel homme, à mes yeux, fut toujours un perfide.
Je méprise quiconque attache un plus haut prix
A servir l'amitié qu'à servir son pays.
Jupiter, qui sais tout, c'est toi que j'en atteste!
Si je voyais jamais quelque complot funeste
S'avancer menaçant contre les citoyens,
Thèbes, tes ennemis seraient aussi les miens;
Je parlerais, certain que sauver la patrie,
C'est sauver de chacun la fortune et la vie,
Qu'avec elle voguant sur les flots aplanis,
Nous verrons sur sa nef accourir nos amis.

Voilà ce qu'Eschine ne s'est pas dit à lui-même pendant l'ambassade. Mais, préférant à la République l'amitié d'un Philippe comme beaucoup plus honorable et plus lucrative, il a envoyé bien loin Sophocle et ses maximes. Quoiqu'il vît le désastre s'avancer mena-

καὶ γνώμην παντὸς ἀνδρός,	et la pensée de tout homme
πρὶν ἂν φανῇ	avant qu'il se soit montré
ἐντριβὴς ἀρχαῖς τε	versé-dans les magistratures
καὶ νόμοισιν.	et les lois.
Ὅςτις γὰρ	Car quiconque,
εὐθύνων πᾶσαν πόλιν,	dirigeant toute une cité,
μὴ ἅπτεται	ne s'attache pas
τῶν ἀρίστων βουλευμάτων,	aux meilleurs conseils,
ἀλλὰ ἔχει ἐγκλείσας	mais a ayant fermé (a fermé)
γλῶσσαν ἐκ φόβου του,	*sa* langue par peur de quelque chose,
δοκεῖ ἐμοὶ εἶναι κάκιστος	semble à moi être très-méchant
νῦν τε καὶ πάλαι.	et aujourd'hui et depuis-longtemps.
Καὶ λέγω οὐδαμοῦ	Et j'appelle *homme* de rien
τοῦτον, ὅςτις νομίζει φίλον	celui quel qu'il soit qui croit un ami
μείζονα	plus précieux *pour lui*
ἀντὶ τῆς πάτρας αὑτοῦ.	que la patrie de lui-même.
Ἐγὼ γάρ, Ζεὺς ἴστω,	Moi, en effet, que Zeus *le* sache,
ὁ ὁρῶν ἀεὶ πάντα,	lui qui voit toujours toutes choses,
οὔτε ἂν σιωπήσαιμι ὁρῶν	je ne me tairais point en voyant
τὴν ἄτην	la calamité
στείχουσαν ἀστοῖς	s'avançant contre les citoyens
ἀντὶ τῆς σωτηρίας,	à-la-place-de *leur* salut;
οὔτε ἄν ποτε θείμην φίλον	ni je ne placerais *comme* ami
ἐμαυτῷ	près de moi-même
ἄνδρα δυςμενῆ	l'homme malveillant
χθονός,	pour la terre *natale*,
γιγνώσκων τοῦτο, ὅτι	sachant ceci, que [sauve,
ἥδε ἐστὶν ἡ σώζουσα,	elle (la patrie) est celle qui *nous*
καὶ ποιούμεθα τοὺς φίλους,	et *que* nous nous faisons des amis
πλέοντες ἐπὶ ταύτης ὀρθῆς.	en naviguant sur elle bien-dirigée.
Αἰσχίνης εἶπεν οὐδὲν τούτων	Eschine n'a dit rien de cela
πρὸς αὑτὸν ἐν τῇ πρεσβείᾳ·	à lui-même dans l'ambassade;
ἀλλὰ ἡγήσατο μὲν τὴν ξενίαν	mais il a considéré le titre-d'hôte
καὶ φιλίαν Φιλίππου	et le titre-d'ami de Philippe
πολλῷ καὶ μείζονα	*comme* beaucoup plus grand
καὶ λυσιτελεστέραν	et plus avantageux
αὑτῷ ἀντὶ τῆς πόλεως,	pour lui-même que la République,
φράσας πολλὰ ἐῤῥῶσθαι	disant plusieurs-fois adieu
τῷ σοφῷ Σοφοκλεῖ.	au sage Sophocle.
Ὁρῶν δὲ ὁμοῦ τὴν ἄτην	Et voyant à la fois la calamité

τὴν ἐπὶ Φωκέας στρατιάν, οὐ προεῖπεν, οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον, συνέκρυψε, καὶ συνέπραξε, καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν, οὐκ ἀναμνησθείς, ὅτι ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι, τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ καθαίρουσα, καὶ καρπουμένη τὰς τῶν χρωμένων οἰκίας, ἐξέθρεψε τοσούτους τουτουσί· διδάσκων δ' ὁ πατὴρ γράμματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ Ἥρωος τοῦ ἰατροῦ[1], ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε ἔζη· ὑπογραμματεύοντες δ' οὗτοι, καὶ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς, ἀργύριον εἰλήφεσαν· καὶ τὸ τελευταῖον ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες, δύο ἔτη διετράφησαν ἐν τῇ θόλῳ[2], πρεσβεύων δ' ἀπέσταλτο νῦν οὗτος ἐκ ταύτης αὐτῆς. Τούτων οὐδὲν ἐσκέψατο, οὐθ' ὅπως ὀρθὴ πλευσεῖται, προείδετο· ἀλλ' ἀνέτρεψε, καὶ κατέδυσε, καὶ τὸ

çant, avec l'armée qui marchait vers la Phocide, loin de le signaler, loin de pousser le cri d'alarme, il l'a caché, il l'a secondé, il a fermé la bouche qui s'ouvrait pour l'annoncer, oubliant que le salut de la patrie est notre salut, que, dans cette même patrie, sa mère voyant fructifier, par l'argent des pratiques, son métier de mystères et d'expiations, l'a élevé lui et ses frères; que là, vivait misérablement son père, maître d'école, disent nos anciens, près du temple de Toxaris; que là encore, scribes en sous-ordre, et valets de tous les magistrats, ceux-ci ont fait de coupables bénéfices; qu'enfin, greffiers publics, grâce à vos suffrages, ils ont été deux ans pensionnaires de l'État; et qu'Eschine lui-même est parti ambassadeur de cette même patrie. Il n'a tenu compte d'aucun de ces bienfaits; et, loin de lui procurer une navigation prospère, il l'a renversée, submergée; il a tout

στείχουσαν,	qui s'avançait, *je veux dire*
τὴν στρατιὰν ἐπὶ Φωκέας,	l'expédition contre les Phocidiens,
οὐ προεῖπεν, οὐδὲ προεξήγγειλεν,	il ne *l'*annonça, ni n'*en* avertit;
ἀλλὰ τὸ ἐναντίον,	mais, au-contraire,
συνέκρυψε,	il contribua-à-*la*-cacher,
καὶ συνέπραξε, καὶ διεκώλυσε	et *l'*aida, et empêcha
τοὺς βουλομένους εἰπεῖν,	ceux qui voulaient *en* parler,
οὐκ ἀναμνησθεὶς	ne se souvenant point
ὅτι ἥδε ἐστὶν	que celle-ci (la patrie) est
ἡ σώζουσα,	celle qui *nous* sauve,
καὶ ἐπὶ ταύτης	et *que*, dans elle (dans cette patrie),
ἡ μὲν μήτηρ αὐτοῦ τελοῦσα	la mère de lui faisant-des-initiations
καὶ καθαίρουσα,	et faisant-des-purifications,
καὶ καρπουμένη τὰς οἰκίας	et recueillant l'argent
τῶν χρωμένων,	de ceux qui se servaient *d'elle,*
ἐξέθρεψε τουτουσὶ τοσούτους·	éleva ceux-ci (ses fils) si nombreux;
ὁ δὲ πατὴρ διδάσκων γράμματα,	et son père enseignant les lettres,
ὡς ἐγὼ ἀκούω	comme je *l'*entends *dire*
τῶν πρεσβυτέρων,	à *nos* anciens,
πρὸς τῷ τοῦ Ἥρωος τοῦ ἰατροῦ,	près du *temple* du Héros médecin,
ἔζη ὅπως ἠδύνατο,	vécut comme il pouvait, [patrie);
ἀλλὰ οὖν ἐν ταύτῃ γε·	mais *vécut* enfin dans elle (dans cette
οὗτοι δὲ	et ceux-ci (Eschine et ses frères),
ὑπογραμματεύοντες,	étant greffiers-subalternes
καὶ ὑπηρετοῦντες	et étant-serviteurs
ἁπάσαις ταῖς ἀρχαῖς,	sous toutes les magistratures,
εἰλήφεσαν ἀργύριον·	reçurent de l'argent;
καὶ τὸ τελευταῖον	et finalement,
χειροτονηθέντες	élus-par-mains-levées
γραμματεῖς ὑπὸ ὑμῶν,	greffiers par vous, [ans
διετράφησαν δύο ἔτη	ils continuèrent-d'être-nourris deux
ἐν τῇ θόλῳ·	dans l'édifice-circulaire (le pryta-
οὗτος δὲ ἀπέσταλτο	et celui-ci fut envoyé [née);
πρεσβεύων ἐκ ταύτης αὐτῆς.	en-ambassade de cette même *patrie.*
Ἐσκέψατο οὐδὲν τούτων,	Il ne considéra rien de cela,
οὔτε προείδετο	ni ne pourvut
ὅπως πλευσεῖται	à-ce-que *la patrie* naviguât
ὀρθή·	droite (bien) dirigée;
ἀλλὰ ἀνέτρεψε,	mais il *la* fit-chavirer,
καὶ κατέδυσε,	et *la* plongea *au fond des flots,*

καθ' αὑτόν, ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται, παρεσκεύασεν. Εἶτ' οὐ σὺ σοφιστής, καὶ πονηρός γε; οὐ σὺ λογογράφος, καὶ θεοῖς ἐχθρός; ὃς ἃ μὲν πολλάκις ἠγωνίσω, καὶ ἀκριβῶς ἐξηπίστασο, ὑπερέβης· ἃ δ' οὐδεπώποτ' ἐν τῷ βίῳ ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι τινά, εἰς μέσον ἤνεγκας;

Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον, σκέψασθε. Ἔφη γὰρ τὸν Σόλωνα ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημένον[1], ἐπιπλήττων τι, καὶ λοιδορούμενος τῇ τοῦ Τιμάρχου προπετείᾳ. Καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι. Ἀπὸ Σόλωνος δὲ[2] ὁμοῦ διακόσιά ἐστιν ἔτη καὶ τετταράκοντα εἰς τὸν νυνὶ παρόντα χρόνον. Ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο πλάσας τὸ σχῆμα, οὐ μόνον οὐκ αὐτὸς ἦν

mis en œuvre pour la livrer à l'ennemi. Et tu n'es pas un sophiste et un méchant! tu n'es pas un déclamateur ennemi des dieux, toi qui affectas de taire les maximes déposées dans ta mémoire, et que tu avais souvent récitées; toi qui as cherché, qui as étalé, pour perdre un citoyen, des vers qui ne furent jamais dans tes rôles!

Au sujet de Solon, voyez quel fut son langage. Solon, disait-il, figuré la main dans son manteau, représente la modestie des orateurs de son temps : injurieux reproche aux mœurs légères de Timarque. Toutefois, on dit à Salamine que cette statue ne date pas encore de cinquante ans; or, on en compte près de deux cent quarante depuis Solon jusqu'à nous. Ainsi, ni l'artiste qui lui a donné cette

καὶ τὸ κατὰ αὐτόν,	et, autant qu'*il était* en lui,
παρεσκεύασεν ὅπως	il fit-par-ses-intrigues que
ἔσται ἐπὶ τοῖς ἐχθροῖς.	elle sera aux ennemis.
Εἶτα σὺ οὐ σοφιστής,	Après-cela, tu n'*es* pas un sophiste,
καὶ πονηρός γε;	et même un méchant?
σὺ οὐ λογογράφος,	tu n'*es* pas un faiseur-de-plaidoyers,
καὶ ἐχθρὸς θεοῖς;	et un ennemi des dieux?
ὃς ὑπερέβης μὲν	*toi* qui passas-sous-silence
ἃ ἠγωνίσω πολλάκις	*les vers* que tu as déclamés souvent
καὶ ἐξηπίστασο ἀκριβῶς·	et *que* tu savais très-bien;
ζητήσας δὲ ταῦτα	*toi qui*, cherchant ceux
ἃ οὐδεπώποτε ὑπεκρίνω	que jamais tu ne déclamas
ἐν τῷ βίῳ	en ta vie, [étalage)
ἤνεγκας εἰς μέσον	*les* a apportés au milieu (cités avec
ἐπὶ τῷ βλάψαι	pour blesser
τινὰ τῶν πολιτῶν;	l'un des citoyens!
Φέρε δή, σκέψασθε	Allons, considérez
καὶ ὃν λόγον εἶπε	aussi le discours qu'*Eschine* a dit
περὶ τοῦ Σόλωνος.	touchant Solon. [de Solon)
Ἔφη γὰρ τὸν Σόλωνα	Il a dit en effet *que* Solon (la statue
ἀνακεῖσθαι	était-debout
παράδειγμα τῆς σωφροσύνης	*comme* exemple de la modestie
τῶν δημηγορούντων	de ceux qui parlaient-au-peuple
τότε,	alors,
ἔχοντα ἀναβεβλημένον	étant enveloppé-dans-le-manteau
τὴν χεῖρα εἴσω,	*quant à* la main intérieurement,
ἐπιπλήττων τι	*il a dit cela*, attaquant
καὶ λοιδορούμενος	et raillant-amèrement
τῇ προπετείᾳ τοῦ Τιμάρχου.	la légèreté-de-mœurs de Timarque.
Καίτοι Σαλαμίνιοι φασὶ	Cependant les Salaminiens disent
τοῦτον μὲν τὸν ἀνδριάντα	*que* cette statue
ἀνακεῖσθαι	n'est érigée
οὔπω πεντήκοντα ἔτη.	pas encore depuis cinquante ans.
Ἀπὸ Σόλωνος δὲ ὁμοῦ	Or, depuis Solon, à peu près
ἐστι διακόσια	il y a deux cent
καὶ τετταράκοντα ἔτη	et quarante ans
εἰς τὸν χρόνον παρόντα νυνί.	jusqu'au temps présent maintenant.
Ὥςτε ὁ δημιουργὸς	Tellement-que l'ouvrier
ὁ πλάσας τοῦτο τὸ σχῆμα	qui a façonné cette attitude
οὐ μόνον οὐκ ἦν αὐτὸς	non-seulement n'était point, lui,

κατ' ἐκεῖνον τὸν χρόνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. Τοῦτο μὲν τοίνυν εἶπε τοῖς δικασταῖς, καὶ ἐμιμήσατο. Ὃ δὲ τοῦ σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν τὴν Σόλωνος ἰδεῖν, καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον. Ἐκεῖνος μέν γε ἀφεστηκυίας Σαλαμῖνος Ἀθηναίων, καὶ θάνατον τὴν ζημίαν ψηφισαμένων, ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθείς, ἐλεγεῖα ποιήσας ᾖδε. Καὶ τὴν μὲν χώραν ἔσωσε τῇ πόλει· τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν. Οὗτος δ', ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἔγνωσαν, Ἀμφίπολιν, ταύτην ἐξέδωκε, καὶ ἀπέδοτο· καὶ τῷ ταῦτα γράφοντι συνεῖπε Φιλοκράτει. Ἄξιόν γε (οὐ γάρ;) ἦν Σόλωνος αὐτῷ μεμνῆσθαι. Καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλὰ κἀκεῖσε ἐλθών, οὐδὲ τοὔνομα ἐφθέγξατο τῆς χώρας, ὑπὲρ

pose, ni même son aïeul, ne furent ses contemporains. Cependant Eschine a cité cette statue, et s'est drapé de même. Mais, ce qui était autrement précieux pour Athènes qu'une simple attitude, l'âme et la pensée patriotique de Solon, voilà ce qu'il n'a point copié. Que dis-je ? il a montré tout le contraire. Après la défection de Salamine, et malgré la défense, sous peine de mort, de proposer de recouvrer cette île, Solon composa et chanta, à ses propres périls, des vers par lesquels il la rendit aux Athéniens, et effaça leur honte. Eschine, qu'a-t-il fait ? une ville que le roi de Perse et tous les Hellènes avaient reconnue vôtre, Amphipolis, il l'a livrée, il l'a vendue ; il a soutenu, à son sujet, la motion d'un Philocrate. O Solon ! que cette bouche était digne de rappeler ta mémoire ! Mais n'est-ce que dans Athènes qu'il agissait ainsi ? non : même en Macédoine, il n'a pas

κατὰ ἐκεῖνον τὸν χρόνον,	de ce temps (du temps de Solon),
ἀλλὰ οὐδὲ ὁ πάππος αὐτοῦ.	mais pas même le grand-père de lui.
Εἶπε τοίνυν τοῦτο μὲν	*Eschine* dit cependant cela
τοῖς δικασταῖς,	aux juges,
καὶ ἐμιμήσατο.	et il imita *cette attitude.*
Οὐκ ἐμιμήσατο δὲ	Mais il n'imita point [geux
ὃ ἦν πολλῷ λυσιτελέστερον	*ce* qui était beaucoup plus avanta-
τῇ πόλει	pour la cité
τούτου τοῦ σχήματος,	que cette attitude,
τὸ ἰδεῖν τὴν ψυχὴν	l'*avantage de* connaître l'âme
καὶ τὴν διάνοιαν τὴν Σόλωνος,	et le génie de Solon,
ἀλλὰ πᾶν τὸ ἐναντίον.	mais *il fit* tout le contraire.
Ἐκεῖνος μέν γε,	Ce-grand-homme,
Σαλαμῖνος	Salamine
ἀφεστηκυίας Ἀθηναίων,	s'étant détachée des Athéniens,
καὶ ψηφισαμένων θάνατον	et *les Athéniens* ayant décrété la
τὴν ζημίαν,	*comme* punition, [mort
ἄν τις	si quelqu'un
εἴπῃ κομίζεσθαι,	parlait de *la* recouvrer,
ὑποθεὶς	s'étant représenté
τὸν ἴδιον κίνδυνον,	*son* propre danger,
ποιήσας ἐλεγεῖα	ayant composé des vers-élégiaques,
ᾖδε.	*les* chanta.
Καὶ ἔσωσε μὲν τὴν χώραν	Et il conserva ce pays
τῇ πόλει·	à la République;
ἀπήλλαξε δὲ	et, d'autre-part, il écarta
τὴν αἰσχύνην ὑπάρχουσαν.	la honte résultant *de sa perte.*
Οὗτος δὲ ἐξέδωκε	Celui-ci, au contraire, a livré
καὶ ἀπέδοτο ταύτην Ἀμφίπολιν,	et a abandonné cette *ville d'*Amphi-
ἣν βασιλεὺς	que le roi *de Perse* [polis,
καὶ πάντες οἱ Ἕλληνες	et tous les Grecs
ἔγνωσαν ὑμετέραν·	reconnurent vôtre;
καὶ συνεῖπε Φιλοκράτει	et il a parlé-pour-soutenir Philocrate
τῷ γράφοντι ταῦτα.	qui écrivait cela *dans un décret.*
Ἦν ἄξιόν γε αὐτῷ	Il était certes convenable à lui
μεμνῆσθαι Σόλωνος·	de rappeler-la-mémoire de Solon!
(οὐ γάρ;)	(*cela*, en effet, n'*est-il* pas?)
Καὶ οὐ μόνον ἐποίησε ταῦτα	Et non-seulement il fit ces choses
ἐνταῦθα,	ici, [doine),
ἀλλὰ καὶ ἐλθὼν ἐκεῖσε,	mais encore, étant allé là (en Macé-

ἧς ἐπρέσβευε. Καὶ ταῦτα αὐτὸς ἀπήγγειλε πρὸς ὑμᾶς· μέμνησθε γὰρ δήπου λέγοντ' αὐτόν, ὅτι· «Περὶ δ' Ἀμφιπόλεως εἶχον μὲν κἀγὼ λέγειν· ἵνα δ' ἐγγένηται Δημοσθένει περὶ αὐτῆς εἰπεῖν, παρέλιπον.» Ἐγὼ δὲ παρελθὼν οὐδὲν ἔφην τοῦτον, ὧν ἠβούλετο εἰπεῖν πρὸς Φίλιππον, ἐμοὶ παραλιπεῖν. Θᾶττον γὰρ ἂν τοῦ αἵματος, ἢ λόγου, μεταδοῦναί τινι. Ἀλλ', οἶμαι, χρήματ' εἰληφότι οὐκ ἦν ἀντιλέγειν πρὸς Φίλιππον, τὸν ὑπὲρ τούτου δεδωκότα, ὅπως ἐκείνην μὴ ἀποδῷ. Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' εἰδῆθ' ὅτι καὶ Σόλων ἐμίσει τούς, οἷος οὗτος, ἀνθρώπους. Οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, δεῖ, οὔ· ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. Σὺ δ' ἐκεῖ προτείνας, καὶ ὑποσχών, καὶ καταισχύνας τούτους, ἐνθάδε

prononcé le nom de la ville, objet de son ambassade; et, dans son rapport, il vous disait, vous ne l'avez pas oublié : « Moi aussi, j'avais à parler d'Amphipolis; mais j'ai laissé cet article à Démosthène. » Je m'avançai à mon tour : « Non, dis-je, cet homme ne m'a rien laissé de ce qu'il voulait dire à Philippe : il aurait plutôt donné de son sang, que cédé un mot à personne! » Son silence devant Philippe s'explique par l'or qu'il avait reçu, et que le prince n'avait donné que pour garder Amphipolis. On va nous lire les vers de Solon, et vous verrez que Solon aussi haïssait les hommes qui ressemblent à ce traître. Ce n'est pas à l'orateur, Eschine, non, c'est à l'ambassadeur à tenir la main dans son manteau! Après l'avoir tendue en Macédoine, après avoir fait rougir ta patrie, tu parles ici de

οὐδὲ ἐφθέγξατο	il ne prononça pas même
τὸ ὄνομα τῆς χώρας,	le nom du lieu (d'Amphipolis),
ὑπὲρ ἧς	pour lequel
ἐπρέσβευε.	il s'acquittait-d'une-ambassade.
Καὶ αὐτὸς ἀπήγγειλε ταῦτα	Et lui-même dit-dans-un-rapport ces
πρὸς ὑμᾶς·	à vous ; [choses
μέμνησθε γὰρ δήπου	car vous vous rappelez certes
αὐτὸν λέγοντα, ὅτι	lui disant (qu'il disait que)
« Καὶ ἐγὼ δὲ	« Moi aussi
εἶχον μὲν λέγειν	j'avais à parler
περὶ Ἀμφιπόλεως·	d'Amphipolis ;
παρέλιπον δέ,	mais j'ai laissé *cela,*
ἵνα ἐγγένηται Δημοσθένει	pour qu'il fût-possible à Démosthène
εἰπεῖν περὶ αὐτῆς. »	de parler de cette *ville.* »
Ἐγὼ δὲ παρελθὼν ἔφην	Mais moi, m'étant-avancé, j'affirmai
τοῦτον παραλιπεῖν ἐμοὶ	*que* celui-ci n'avait laissé à moi
οὐδὲν ὧν ἠβούλετο	aucun *des sujets* dont il voulait
εἰπεῖν πρὸς Φίλιππον.	parler à Philippe.
Μεταδοῦναι γὰρ ἄν τινι	*Qu'*en effet il céderait à quelqu'un
τοῦ αἵματος θᾶττον ἢ λόγου.	de son sang plutôt que la parole.
Ἀλλά, οἶμαι, οὐκ ἦν	Mais, je pense, il n'était *plus permis*
εἰληφότι χρήματα	à *Eschine* ayant reçu des présents
ἀντιλέγειν πρὸς Φίλιππον,	de parler contre Philippe,
τὸν δεδωκότα	qui avait donné *de l'argent*
ὑπὲρ τούτου,	pour ceci, *savoir,*
ὅπως μὴ ἀποδῷ ἐκείνην.	pour qu'il ne rendît pas cette *ville.*
Λέγε δή μοι λαβὼν	Lis-moi, *les* ayant pris,
καὶ ταυτὶ τὰ ἐλεγεῖα	aussi ces *vers* élégiaques
τοῦ Σόλωνος,	de Solon,
ἵνα εἰδῆτε ὅτι καὶ Σόλων	afin que vous voyiez que Solon aussi
ἐμίσει τοὺς ἀνθρώπους,	haïssait les hommes
οἷος οὗτος.	*tels* que celui-ci. [*ple,* non,
Αἰσχίνη, οὐ δεῖ λέγειν, οὔ,	Eschine, il ne faut pas parler *au peu-*
ἔχοντα τὴν χεῖρα εἴσω·	ayant la main dans *son manteau :*
ἀλλὰ	mais *il faut*
πρεσβεύειν	s'acquitter-d'une-ambassade
ἔχοντα τὴν χεῖρα εἴσω.	ayant la main dans *son manteau.*
Σὺ δὲ ἐκεῖ προτείνας,	Toi, au-contraire, là *l'*ayant tendue
καὶ ὑποσχών,	et *l'*ayant présentée,
καὶ καταισχύνας	et ayant couvert-de-honte

σεμνολογῇ; καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας, οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδικημάτων, ἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλήν[1], περινοστῇς, καὶ ἐμοὶ λοιδορῇ; Λέγε σύ.

ΕΛΕΓΕΙΑ ΣΟΛΩΝΟΣ.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
  αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.
Τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
  Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
  ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι.
Δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
  ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
Οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
  εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
Χρήματα δ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι,

bienséance ! Et, quand tu as appliqué ta mémoire et ta voix sur de misérables lambeaux de poésie, tu te crois quitte de tous tes crimes, pourvu que, la tête couverte, tu parcoures la ville en m'insultant ! —La lecture !

VERS DE SOLON.

Non, grâce à Jupiter, à la bonté des dieux,
Ils ne périront point, les murs de nos aïeux !
La fille du dieu fort, gardienne vigilante,
Athéné, sur sa ville étend sa main puissante.
Mais, par l'amour de l'or follement emporté,
C'est le peuple qui sape et détruit la cité.
Ses chefs rêvent le crime ; et leur funeste audace
Des maux nés de l'injure affronte la menace.
Ils ne surent jamais, impatients du frein,
D'innocence et de paix couronner un festin.
« De l'or ! toujours de l'or ! qu'importe la justice ?

τούτους,	ces *citoyens,*
σεμνολογῇ ἐνθάδε;	tu parles-gravement ici !
καὶ μελετήσας	et ayant appris
δύστηνα λογάρια	de misérables tirades,
καὶ φωνασκήσας,	et ayant exercé-ta-voix,
οἴει	tu penses [puni)
οὐ δώσειν δίκην	ne devoir pas donner justice (être
ἀδικημάτων	de prévarications
τηλικούτων καὶ τοσούτων,	si nombreuses et si-grandes,
ἂν λαϐὼν πιλίδιον	pourvu que ayant pris une coiffure
ἐπὶ τὴν κεφαλήν,	sur ta tête,
περινοστῇς,	tu ailles-çà-et-là,
καὶ λοιδορῇ ἐμοί; Λέγε σύ.	et invectives *contre* moi ! Lis, toi.

ΕΛΕΓΕΙΑ ΣΟΛΩΝΟΣ.	VERS-ÉLÉGIAQUES DE SOLON.
Ἡμετέρη δὲ πόλις	Notre ville
οὔποτε ὀλεῖται	jamais ne périra,
κατὰ μὲν αἶσαν Διός,	grâce-à la providence de Jupiter
καὶ φρένας	et aux intentions
μακάρων θεῶν ἀθανάτων.	des bienheureux dieux immortels.
Παλλὰς γὰρ Ἀθηναίη,	Car Pallas Athéné,
τοίη μεγάθυμος	telle (si) magnanime,
ὀϐριμοπάτρη	née-d'un-père-puissant,
ἐπίσκοπος	veillant *sur Athènes,*
ἔχει χεῖρας ὕπερθεν.	a les mains sur *cette cité.*
Ἀστοὶ δὲ αὐτοί,	Mais les citoyens eux-mêmes,
πειθόμενοι χρήμασι,	séduits par les richesses,
βούλονται φθείρειν μεγάλην πόλιν	veulent perdre la grande ville
ἀφραδίῃσιν.	par *leurs* folies.
Νόος τε ἡγεμόνων δήμου	Et la pensée des chefs du peuple
ἄδικος,	*est* injuste,
οἷσιν ἑτοῖμον	*eux* à qui *il est* facile
παθεῖν πολλὰ ἄλγεα	de souffrir beaucoup de maux
ἐκ μεγάλης ὕϐριος.	par-suite-d'un grand excès.
Οὐ γὰρ ἐπίστανται	Car ils ne savent pas
κατέχειν κόρον,	réprimer *leur* orgueil,
οὐδὲ κοσμεῖν ἐν ἡσυχίῃ	ni orner en repos
εὐφροσύνας παρούσας δαιτός.	les joies présentes du festin.
Ἱμείρουσι δὲ ἔχειν χρήματα,	Ils désirent posséder des richesses,
πεπᾶσθαι δὲ ἀδίκως,	se nourrir injustement,

πλουτεῦσιν δ' ἀδικοῖς ἔργμασι πειθόμενοι.

. . . .

Οὔθ' ἱερῶν κτεάνων, οὔτε τι δημοσίων
φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα.
Ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα, πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
Ταύτῃ δὴ πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον.
Εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον, πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυςμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά. Τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες, δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

. . . .

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ.
Αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι.
Ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν. Εὗρε δὲ πάντως,

D'un rapide bonheur élevons l'édifice. »
Ils ont dit, et bientôt rien n'échappe à leurs mains,
Ni le trésor des dieux, ni l'or des citoyens.
Ils outragent Thémis, qui voit tout en silence....
Le temps la vengera! Voilà la plaie immense
Qui s'étend, incurable, à toute la cité.
Alors, la servitude après la liberté;
La discorde éveillant le démon de la guerre:
Le sang des citoyens souillant au loin la terre;
Le pays, qu'on aima dès ses plus jeunes ans,
Déchiré, puis vendu par ses propres enfants!
Tels sont les maux de tous. Mais la foule indigente,
Enchaînée, exposée aux affronts de la vente,
Où va-t-elle? en exil! Par sa contagion,
Le désastre public entre en chaque maison;
Les verrous, les remparts, tout obstacle l'anime;

πλουτεῦσι δὲ
πειθόμενοι ἔργμασιν ἀδικοῖς.
Φειδόμενοι κτεάνων
οὔτε ἱερῶν, οὔτε τι δημοσίων,
κλέπτουσιν ἐπὶ ἁρπαγῇ
ἄλλος ἄλλοθεν,
οὐδὲ φυλάσσονται
σεμνὰ θέμεθλα δίκης.
Ἣ σιγῶσα σύνοιδε
τὰ γιγνόμενα,
πρό τε ἐόντα,
τῷ δὲ χρόνῳ πάντως
ἦλθεν ἀποτισομένη.
Ἕλκος δὴ ἄφυκτον
ἔρχεται ταύτῃ πόλει πάσῃ.
Ἤλυθε δὲ ταχέως
εἰς δουλοσύνην κακήν,
ἢ στάσιν ἔμφυλον,
ἐπεγείρει τε πόλεμον εὕδοντα,
ὃς ὤλεσεν
ἡλικίην ἐρατὴν
πολλῶν.
Ἄστυ γὰρ πολυήρατον
τρύχεται ταχέως
ἐκ δυςμενέων ἐν συνόδοις
τοῖς ἀδικοῦσι φίλους.
Ταῦτα μὲν κακὰ στρέφεται
ἐν δήμῳ.
Πολλοὶ δὲ τῶν πενιχρῶν
ἱκνοῦνται ἐς γαῖαν ἀλλοδαπὴν
πραθέντες, δεθέντες τε
δεσμοῖσιν ἀεικελίοισι.
Κακὸν δημόσιον ἔρχεται οὕτως
οἴκαδε ἑκάστῳ.
Θύραι δὲ αὔλειοι
οὐκ ἐθέλουσιν ἔτι
ἔχειν.
Ὑπέρθορε δὲ
ὑπὲρ ἕρκος ὑψηλόν.
Εὗρε δὲ πάντως,

et ils s'enrichissent [ses actions.
cédant (se laissant aller) à de mauvai-
N'épargnant les propriétés
ni sacrées, ni publiques,
ils dérobent par des vols-hardis
l'un d'un côté, l'autre d'un autre,
et ils ne gardent point
les augustes décrets de la justice.
Laquelle, se taisant, sait-intérieure-
les *actions* qui se font, [ment
et celles qui étaient *faites* avant,
et, avec le temps, toujours
elle est venue devant faire-expier.
Donc un ulcère incurable
s'étend sur cette ville entière.
Elle *en* est venue bientôt
à la servitude malheureuse,
ou à la discorde entre-les-tribus,
et elle éveille la guerre dormant,
la guerre qui a détruit *promptement*
la jeunesse aimable
de beaucoup *de citoyens*.
Car la cité bien-aimée
est accablée rapidement
par *ses* ennemis dans des combats
qui nuisent à *ses* alliés. [tent)
Ces malheurs-là se tournent (exis-
dans le peuple.
Mais la foule des pauvres
s'en va en la terre étrangère
vendus et liés (vendue et liée)
de liens déshonorants.
La calamité publique pénètre ainsi
au-logis chez chacun.
Et les portes de-la-cour
ne veulent (ne peuvent) plus
la retenir *dehors*.
Mais elle a sauté
par-dessus l'enceinte élevée.
Elle a trouvé toujours *l'habitant*,

εἴ κέ τις ἢ φεύγων ἐν μυχῷ, ἢ θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυςνομία παρέχει.
Εὐνομία δ' εὔκοσμα, καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
πρηΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν πόλιν σώζειν· ἐγὼ δ' ἀεὶ μὲν εἶναι ἀληθῆ τὸν λόγον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρ' οἱ θεοὶ σώζουσιν ἡμῶν τὴν πόλιν· τρόπον δέ

Il va, jusqu'en son lit, surprendre sa victime.
O mes concitoyens! du plus grand des fléaux,
Du seul mépris des lois découlent tous ces maux.
Les lois! aimez leur joug : il produit la décence,
Calme l'humeur farouche, entrave la licence,
Flétrit la tyrannie et la cupidité,
Étouffe dans les cœurs le mal prémédité,
Fait taire les procès, assoupit les querelles,
Et brise de l'orgueil les trames criminelles.
Tout peuple qui s'honore en respectant les lois
Possède la sagesse, et raffermit ses droits.

Vous entendez, ô Athéniens, ce que dit Solon de cette race d'hommes, et des dieux qu'il appelle sauveurs de la patrie. Oui, dans ma pensée, la protection du ciel sur notre république est une vérité

εἴ κέ τις ᾗ φεύγων	même s'il est fuyant
ἐν μυχῷ, ἢ θαλάμῳ.	dans un réduit, ou *dans son* lit.
Θυμὸς κελεύει	*Mon* cœur *m'*ordonne
με διδάξαι ταῦτα	moi enseigner ces choses
Ἀθηναίους,	aux Athéniens,
ὡς δυςνομία	combien une mauvaise-législation
παρέχει κακὰ πλεῖστα	cause de maux très-nombreux
πόλει.	à une ville.
Εὐνομία δὲ ἀποφαίνει	Bonne-législation, au contraire, rend
πάντα εὔκοσμα	toutes choses bien-réglées
καὶ ἄρτια,	et bien-ordonnées,
καὶ θαμὰ ἀμφιτίθησι πέδας	et souvent elle entoure d'entraves
τοῖς ἀδίκοις,	les *hommes* injustes,
λειαίνει τραχέα,	aplanit les aspérités,
παύει κόρον,	comprime l'orgueil,
ἀμαυροῖ ὕβριν,	fait-disparaître l'insolence,
αὐαίνει δὲ ἄνθεα ἄτης	flétrit les fleurs du malheur
φυόμενα,	qui croissaient,
εὐθύνει δὲ δίκας σκολιάς,	redresse les procès tortueux,
πρηΰνει τε	rend-plus-douces
ἔργα ὑπερήφανα,	les actions arrogantes,
παύει δὲ	fait-cesser
ἔργα διχοστασίης,	les actes de la dissension,
παύει δὲ χόλον	et calme l'aigreur
ἔριδος ἀργαλέης·	de la querelle fâcheuse; [mes
πάντα δὲ κατὰ ἀνθρώπους	et tout *ce qui se passe* chez les hom-
ἔστιν ἄρτια καὶ πινυτὰ	est réglé et rendu-sage
ὑπὸ αὐτῆς.	par elle (par une bonne législation).
Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι,	Vous entendez, ô Athéniens,
οἷα Σόλων λέγει	quelles choses Solon dit
περὶ τῶν τοιούτων ἀνθρώπων,	concernant de tels hommes,
καὶ περὶ τῶν θεῶν,	et concernant les dieux,
οὕς φησι σώζειν τὴν πόλιν·	qu'il affirme protéger la République;
ἐγὼ δέ,	pour moi,
ἡγοῦμαι μὲν καὶ βούλομαι	je crois et je veux
τὸν λόγον τοῦτον	ce langage
εἶναι ἀεὶ ἀληθῆ,	être toujours vrai,
ὡς ἄρα οἱ θεοὶ σώζουσι	à savoir que les dieux conservent
τὴν πόλιν ἡμῶν·	la cité de nous;
οἴομαι δὲ τρόπον τινα	et je pense en quelque sorte,

τινα οἴομαι καὶ τὰ νῦν συμβεβηκότα πάντα ἐπὶ ταῖς εὐθύναις ταυταισὶ δαιμονίας τινὸς εὐνοίας ἔνδειγμα τῇ πόλει γεγενῆσθαι. Σκοπεῖτε γάρ. Ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, καὶ χώρας ἐνδεδωκώς, ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν συμμάχων τιμᾶσθαι προςῆκεν, ἠτίμωσεν ὑπακούσαντά τινα αὐτοῦ κατήγορον. Διὰ τί; ἵνα μήτε ἐλέου, μήτε συγγνώμης ἐφ' οἷς αὐτὸς ἠδίκησε, τύχῃ. Ἀλλὰ καὶ κατηγορῶν ἐκείνου, κακῶς λέγειν προείλετο ἐμέ, καὶ πάλιν ἐν τῷ δήμῳ, γραφὰς ἀποίσειν, καὶ τοιαῦτ' ἠπείλει. Διὰ τί; ἵν' ὡς μετὰ πλείστης συγγνώμης παρ' ὑμῶν, ὁ τὰ τούτου πονηρεύματα ἀκριβέστατα εἰδὼς ἐγώ, καὶ παρηκολουθηκὼς ἅπασι, κατηγορῶ. Ἀλλὰ καὶ διακρουόμενος ἅπαντα τὸν ἔμπροσθεν χρόνον εἰςελθεῖν, εἰς τοιοῦτον ὑπῆκται

de tous les temps. Je crois même reconnaître dans toutes les circonstances de cet examen juridique le signe d'une bienveillance providentielle. Je m'explique. Un homme coupable de nombreux et graves délits, un député qui a livré des contrées où les dieux devaient être honorés par vous et par vos alliés, frappe de mort civile un citoyen qui avait consenti à l'accuser. Pourquoi? afin que lui-même n'obtienne, pour ses crimes, ni pitié, ni pardon. De plus, en accusant Timarque, il m'a dénigré par système; et, une autre fois, devant le peuple, il m'a menacé de sa vengeance et de ses poursuites. Pourquoi encore? afin que vous m'accordiez la bienveillance la plus large au moment où je l'accuse, moi qui connais à fond, moi qui ai suivi de l'œil toutes ses scélératesses. Ce n'est pas tout : après avoir évité jusqu'à présent de présenter ses comptes, le voilà devant vous

καὶ πάντα τὰ συμβεβηκότα
νῦν
ἐπὶ ταῖς εὐθύναις ταυταισὶ
γεγενῆσθαι τῇ πόλει
ἔνδειγμά
τινος εὐνοίας δαιμονίας.
Σκοπεῖτε γάρ.
Ἄνθρωπος
πρεσβεύσας
πολλὰ
καὶ δεινά,
καὶ ἐνδεδωκὼς χώρας
ἐν αἷς προςῆκε τοὺς θεοὺς
τιμᾶσθαι ὑπὸ ὑμῶν
καὶ τῶν συμμάχων,
ἠτίμωσέ
τινα ὑπακούσαντα
κατήγορον αὑτοῦ.
Διὰ τί; ἵνα τύχῃ
μήτε ἐλέου, μήτε συγγνώμης,
ἐπὶ οἷς αὐτὸς
ἠδίκησεν.
Ἀλλὰ καὶ κατηγορῶν ἐκείνου,
προείλετο
κακῶς λέγειν ἐμέ,
καὶ πάλιν ἐν τῷ δήμῳ,
ἠπείλει
ἀποίσειν γραφάς,
καὶ τοιαῦτα.
Διὰ τί;
ἵνα ἐγώ,
ὁ εἰδὼς ἀκριβέστατα
τὰ πονηρεύματα τούτου,
καὶ παρηκολουθηκὼς ἅπασι,
κατηγορῶ μετὰ συγγνώμης
ὡς πλείστης
παρὰ ὑμῶν.
Ἀλλὰ καὶ διακρουόμενος
εἰςελθεῖν
ἅπαντα χρόνον τὸν ἔμπροσθεν,

que même tout ce qui est arrivé
maintenant [tes
au-sujet-de cette reddition-de-comp-
est devenu pour la République
la marque
de quelque bienveillance divine.
Examinez, en effet.
Un homme
ayant commis-dans-une-ambassade
beaucoup d'*actes*
et des *actes* criminels,
et ayant livré des contrées [dieux
dans lesquelles il convenait *que* les
fussent honorés par vous
et par les alliés,
a déshonoré
quelqu'un qui avait consenti
à être accusateur de lui.
Pourquoi? afin qu'il *n'*obtînt
ni pitié, ni indulgence,
pour les faits par lesquels lui-même
a prévariqué. [marque),
De plus, en accusant celui-là (Ti-
il se proposa-surtout
de calomnier moi,
et, une autre fois, devant le peuple,
il *me* menaçait
de déposer une accusation
et d'*autres rigueurs* pareilles.
Pourquoi?
afin que moi,
qui connaissais très-exactement
les scélératesses de cet *homme*,
et qui *les* avais suivies-de-près toutes,
j'accuse avec la bienveillance
la plus grande
de-la-part-de vous *pour moi*.
Mais encore, différant
de se présenter *aux juges*
pendant tout le temps d'auparavant,

καιρόν, ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τε, οὐδ' ἀσφαλὲς ὑμῖν δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι· ἀεὶ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προςήκει μισεῖν καὶ κολάζειν τοὺς προδότας καὶ δωροδόκους· μάλιστα δὲ νῦν ἐπὶ καιροῦ τοῦτο γένοιτ' ἄν, καὶ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ.

Νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι[1], δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπόν, καὶ πολλῆς τινος εὐτυχίας καὶ παρ' ὑμῶν ἐπιμελείας δεόμενον. Οἱ γὰρ ἐν ταῖς πόλεσι γνωριμώτατοι, καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι, τὴν αὑτῶν προδιδόντες ἐλευθερίαν, οἱ δυςτυχεῖς, αὐθαίρετον αὑτοῖς ἐπάγονται δουλείαν, Φιλίππου φιλίαν, καὶ ξενίαν, καὶ ἑταιρίαν, καὶ τὰ τοιαῦθ' ὑποκοριζόμενοι· οἱ δὲ λοιποί, καὶ τὰ κύρια, ἅττα ποτ' ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν, καὶ

dans un moment où d'imminents périls suffiraient pour rendre inquiétante et même impossible l'impunité de sa corruption. Car, s'il faut, ô Athéniens, toujours détester, toujours punir les traîtres et les âmes vénales, c'est aujourd'hui surtout que cette sévérité serait opportune et universellement salutaire.

Un mal contagieux est venu s'abattre sur la Grèce; mal funeste, qui rend nécessaires et la protection du sort et votre vigilance. Les citoyens les plus notables, que chaque État a jugés dignes de diriger ses affaires, abjurent leur liberté, les malheureux! et, se parant des noms d'hôtes, d'amis, d'intimes de Philippe, ils choisissent, ils appellent la servitude. Le peuple et les magistrats, qui devraient

ὑπῆκται εἰς καιρὸν τοιοῦτον,	il est venu en une circonstance telle
ἐν ᾧ,	dans laquelle (telle que),
ἕνεκα τῶν ἐπιόντων,	à cause des *faits* survenus, [chose,
εἰ μηδενὸς ἄλλου,	si *ce n'est à cause* d'aucune autre
οὐχ οἷόν τε	*il* n'*est* possible
οὐδὲ ἀσφαλὲς ὑμῖν	ni sûr pour vous
ἐᾶσαι ἀθῷον τοῦτον	de laisser impuni cet *homme*
δεδωροδοκηκότα·	qui a reçu-des-présents;
ἀεὶ μὲν γάρ,	toujours, en effet,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
προςήκει μισεῖν καὶ κολάζειν	il convient de haïr et de punir
τοὺς προδότας καὶ δωροδόκους·	les traîtres et les âmes-vénales :
τοῦτο δὲ γένοιτο ἂν	mais cela aurait lieu
ἐπὶ καιροῦ	à propos
μάλιστα νῦν,	surtout maintenant,
καὶ ὠφελήσειε	et secourrait [ment.
πάντας ἀνθρώπους κοινῇ.	tous les hommes (peuples) générale-
Νόσημα γὰρ	Car une contagion
δεινὸν καὶ χαλεπόν,	grave et terrible,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα,	s'est abattue sur la Grèce,
καὶ δεόμενον	et ayant-besoin
πολλῆς τινος εὐτυχίας	de beaucoup de bonne-chance
καὶ ἐπιμελείας παρὰ ὑμῶν.	et de sollicitude de-la-part-de vous.
Οἱ γὰρ γνωριμώτατοι	Car les *hommes* les plus notables
ἐν ταῖς πόλεσι,	dans les cités,
καὶ ἀξιούμενοι προεστάναι	et jugés-dignes de présider
τῶν κοινῶν,	aux *affaires* publiques,
προδιδόντες	trahissant
τὴν ἐλευθερίαν αὐτῶν,	la liberté d'eux-mêmes,
οἱ δυςτυχεῖς,	les malheureux !
ἐπάγονται αὑτοῖς δουλείαν	amènent-sur eux-mêmes la servitude
αὐθαίρετον,	qu'ils-préfèrent-spontanément,
ὑποκοριζόμενοι φιλίαν	se-décorant-des-titres d'amitié
καὶ ξενίαν καὶ ἑταιρίαν	et d'hospitalité et d'intimité
Φιλίππου,	de Philippe,
καὶ τὰ τοιαῦτα·	et d'*autres titres* semblables;
οἱ δὲ λοιποί, καὶ τὰ κύρια,	le reste *du peuple,* et les magistrats,
ἅττα ποτέ ἐστιν ἐν ἑκάστῃ	qui enfin sont dans chacune
τῶν πόλεων,	des cités,

παραχρῆμα ἀποκτιννύναι, τοσοῦτον ἀπέχουσι τοῦ τοιοῦτόν τι ποιεῖν, ὥςτε θαυμάζουσι, καὶ ζηλοῦσι· καὶ βούλοιτ' ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. Καίτοι τουτὶ τὸ πρᾶγμα, καὶ τὰ τοιαῦτα ζηλώματα, Θετταλῶν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν ἐχθὲς καὶ πρῴην, τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμα ἀπολωλέκει· νῦν δ' ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται· τὰς γὰρ ἀκροπόλεις αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν. Εἰς Πελοπόννησον δ' εἰςελθὸν τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκε, καὶ τοσαύτης μανίας καὶ παροινίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους, ὥςθ', ἵν' ἀλλήλων ἄρχωσι, καὶ Φιλίππῳ χαρίζωνται, συγγενεῖς αὐτῶν καὶ πολίτας μιαιφονεῖν. Καὶ οὐδ' ἐνταῦθ' ἕστηκεν. Ἀλλ' εἰς Ἀρκαδίαν εἰςελθὸν πάντ' ἄνω καὶ κάτω τἀκεῖ πεποίηκε, καὶ νῦν

les réprimer, les mettre à mort sur-le-champ, loin d'en rien faire, les admirent, les envient, ambitionnent le même succès. Par cette conduite, par cette émulation coupable, les Thessaliens avaient perdu naguère leur ascendant et leur commune considération ; et aujourd'hui l'indépendance même leur est ravie, car plusieurs de leurs citadelles ont reçu garnison macédonienne. Pénétrant dans le Péloponèse, ce fléau a produit les massacres de l'Élide, et rempli d'un délire furieux des misérables qui, pour s'élever les uns sur les autres, et de là tendre la main à Philippe, se sont souillés du sang de leurs proches et de leurs concitoyens. Il ne s'est pas arrêté là : entré dans l'Arcadie, il

οὓς ἔδει	*gens* lesquels il faudrait (qui de-
κολάζειν	réprimer-sévèrement [vraient)
τούτους,	ceux-là,
καὶ ἀποκτιννύναι παραχρῆμα,	et *les* faire-périr sur-le-champ,
ἀπέχουσι τοσοῦτον	sont-éloignés tellement
τοῦ ποιεῖν τι τοιοῦτον,	de faire quelque chose de tel,
ὥςτε θαυμάζουσι καὶ ζηλοῦσι·	qu'ils *les* admirent et *les* envient,
καὶ ἕκαστος βούλοιτο ἂν	et chacun voudrait
αὐτὸς εἶναι τοιοῦτος.	lui-même être tel *que ces coupables.*
Καίτοι τουτὶ τὸ πρᾶγμα	Toutefois cette conduite
καὶ τὰ τοιαῦτα ζηλώματα,	et de telles rivalités,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἀπολωλέκει μέν,	ont détruit, d'une part,
μέχρι μὲν ἐχθὲς καὶ πρῴην,	jusque hier et tout-récemment,
τὴν ἡγεμονίαν	la supériorité-politique
καὶ τὸ κοινὸν ἀξίωμα	et le commun ascendant
Θετταλῶν·	des Thessaliens;
νῦν δὲ ἤδη	et maintenant, d'autre part,
παραιρεῖται	elles *leur* ôtent
καὶ τὴν ἐλευθερίαν·	aussi la liberté:
Μακεδόνες γὰρ	car les Macédoniens
φρουροῦσι τὰς ἀκροπόλεις	tiennent-garnison-dans les citadelles
ἐνίων αὐτῶν.	de plusieurs d'*entre* eux.
Εἰςελθὸν δὲ	*La contagion* entrée
εἰς Πελοπόννησον	dans le Péloponèse
πεποίηκε τὰς σφαγὰς ἐν Ἤλιδι,	a fait des massacres en Élide,
καὶ ἐνέπλησε	et a rempli
τοὺς ταλαιπώρους ἐκείνους	ces malheureux *citoyens*
μανίας καὶ παροινίας τοσαύτης,	d'une fureur et d'un enivrement tels
ὥςτε μιαιφονεῖν	que de se-souiller-du-meurtre
συγγενεῖς καὶ πολίτας αὐτῶν,	des parents et des concitoyens d'eux,
ἵνα ἄρχωσιν	afin qu'il dominent
ἀλλήλων,	les-uns-sur-les-autres,
καὶ χαρίζωνται Φιλίππῳ.	et qu'ils fassent-plaisir à Philippe.
Καὶ οὐδὲ ἕστηκεν ἐνταῦθα.	Et elle ne s'est pas arrêtée là.
Ἀλλὰ εἰςελθὸν εἰς Ἀρκαδίαν	Mais, entrée en Arcadie,
πεποίηκεν	elle a fait (elle a mis) [sous)
ἄνω καὶ κάτω	en haut et en bas (sens dessus des-
πάντα τὰ ἐκεῖ,	toutes choses dans-ce-pays,
καὶ νῦν	et maintenant

Ἀρκάδων πολλοί, προσῆκον αὐτοῖς ἐπ' ἐλευθερίᾳ μέγιστον φρονεῖν ὁμοίως ὑμῖν (μόνοι γὰρ τῶν ἁπάντων ὑμεῖς αὐτόχθονές ἐστε, κἀκεῖνοι [1]), Φίλιππον θαυμάζουσι, καὶ χαλκοῦν ἱστᾶσι, καὶ στεφανοῦσι. Καὶ τὸ τελευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν εἰσὶν ἐψηφισμένοι. Ταὐτὰ δὲ ταῦτα Ἀργεῖοι. Ταῦτα, μὰ τὴν Δήμητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖται, ὡς, βαδίζον γε κύκλῳ, καὶ δεῦρο εἰσελήλυθεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ νόσημα τοῦτο. Ἕως οὖν ἔστ' ἐν ἀσφαλεῖ, φυλάξασθε, καὶ τοὺς πρώτους εἰσαγαγόντας ἀτιμώσατε. Εἰ δὲ μή, σκοπεῖθ', ὅπως μὴ τηνικαῦτα εὖ λέγεσθαι δόξῃ τὰ νῦν εἰρημένα, ὅτε οὐδ' ὅ τι χρὴ ποιεῖν ἕξετε.

Οὐχ ὁρᾶτε, ὡς ἐναργές, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφὲς παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ' οὐδὲν οὐ-

l'a bouleversée ; et ces montagnards à qui la liberté devrait inspirer la noblesse de vos sentiments, puisque, seuls, ils sont, comme vous, enfants de leur sol, s'engouent de Philippe, lui décernent et des statues et des couronnes, décident enfin que leurs villes lui seront ouvertes, s'il met le pied dans la contrée. Même conduite chez les Argiens. Par Cérès! tous ces symptômes demandent de grandes précautions. L'épidémie, après avoir parcouru les cités d'alentour, s'est glissée dans la vôtre, ô Athéniens. Tandis qu'elle n'a pas éclaté, veillez sur vous, et flétrissez ceux qui l'ont importée; sinon, craignez de ne reconnaître l'utilité de mes avis que quand le remède sera devenu impossible.

Hommes d'Athènes, ne voyez-vous pas, dans le désastre des Olynthiens, une leçon claire et vivante? Infortunés! leur perte fut

πολλοὶ Ἀρκάδων
θαυμάζουσι Φίλιππον,
καὶ ἱστᾶσι
χαλκοῦν,
καὶ στεφανοῦσι,
προςῆκον
αὐτοῖς
φρονεῖν μέγιστον
ἐπὶ ἐλευθερίᾳ
ὁμοίως ὑμῖν
(ὑμεῖς γὰρ καὶ ἐκεῖνοι,
μόνοι τῶν ἁπάντων,
ἔστε αὐτόχθονες).
Καὶ τὸ τελευταῖον
εἰσὶν ἐψηφισμένοι
δέχεσθαι ταῖς πόλεσιν,
ἂν ἴῃ εἰς Πελοπόννησον.
Ἀργεῖοι δὲ τὰ αὐτὰ ταῦτα.
Μὰ τὴν Δήμητρα,
εἰ δεῖ μὴ ληρεῖν,
ταῦτα δεῖται
εὐλαβείας οὐ μικρᾶς,
ὡς τὸ νόσημα τοῦτο,
ὦ ἄνδρες Ἀθηναῖοι,
βαδίζον γε κύκλῳ
εἰςελήλυθε καὶ δεῦρο.
Ἕως οὖν ἐστὲ ἐν ἀσφαλεῖ,
φυλάξασθε,
καὶ ἀτιμώσατε
τοὺς πρώτους εἰςαγαγόντας.
Εἰ δὲ μή, σκοπεῖτε
ὅπως τὰ
εἰρημένα νῦν
μὴ δόξῃ λέγεσθαι εὖ
τηνικαῦτα ὅτε οὐδὲ ἕξετε
ὅ τι χρὴ ποιεῖν.
Οὐχ ὁρᾶτε,
ὦ ἄνδρες Ἀθηναῖοι,
ὡς οἱ ταλαίπωροι Ὀλύνθιοι
γεγόνασι παράδειγμα ἐναργὲς

la multitude des Arcadiens
admire Philippe,
et *le* place-debout
en-airain (lui érige des statues),
et *lui* décerne-des-couronnes,
étant convenable (tandis qu'il con-
à eux [viendrait)
d'avoir-des-sentiments très-élevés
pour la liberté,
semblablement à vous
(car vous et eux,
seuls de tous *les peuples grecs*,
vous êtes autochthones).
Et en-dernier-lieu
les Arcadiens ont décrété [les,
de recevoir *Philippe* dans leurs vil-
s'il va dans le Péloponèse.
Les Argiens *font* ces mêmes choses.
Par Cérès!
s'il faut ne pas parler-légèrement,
cela demande
précaution non petite,
parce que cette contagion,
ô hommes Athéniens,
marchant à-la-ronde,
est entrée aussi ici. [rité,
Tandis donc que vous êtes en sécu-
veillez,
et flétrissez [*fléau*.
les premiers qui ont introduit *le*
Sinon, prenez-garde
que les *paroles*
dites aujourd'hui *par moi*
ne paraissent être dites bien
lorsque vous ne posséderez plus
ce qu'il faut faire.
Ne voyez-vous pas,
ô hommes Athéniens,
combien les malheureux Olynthiens
sont devenus un exemple sensible

τως, ὡς τὸ τοιαῦτα ποιεῖν, ἀπολώλασιν, οἱ δείλαιοι. Ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων αὐτοῖς. Ἐκεῖνοι γάρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον, καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους τῶν πεντακισχιλίων τὸν ἀριθμόν, οὔπω Χαλκιδέων πάντων εἰς ἓν συνῳκισμένων[1], Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων, πολλῇ πεζῇ καὶ ναυτικῇ δυνάμει (ἴστε γὰρ δήπου τοῦθ', ὅτι γῆς καὶ θαλάττης ἦρχον, ὡς ἔπος εἰπεῖν, Λακεδαιμόνιοι κατ' ἐκείνους τοὺς χρόνους)· ἀλλ' ὅμως τηλικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνάμεως, οὔτε τὴν πόλιν, οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν, καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν, καὶ τὸ τελευταῖον, ὅπως ἠβούλοντο, οὕτω τὸν πόλεμον κατέθεντο. Ἐπειδὴ δὲ δωροδοκεῖν ἤρ-

surtout le résultat de ce désordre : jugez-en par leur histoire. Avant la ligue chalcidienne, lorsqu'ils n'avaient encore que quatre cents cavaliers, et que leur nombre total n'excédait pas cinq mille, Lacédémone, qui, vous le savez, dominait, à cette époque, sur l'un et l'autre élément, vint les attaquer avec des forces considérables de terre et de mer. Assaillis par cette formidable puissance, loin de perdre leur ville, loin de perdre un seul fort, ils remportèrent plusieurs victoires, tuèrent à l'ennemi trois généraux, et finirent par dicter les conditions de la paix. Cependant quelques Olynthiens

καὶ σαφές;	et clair?
οἵ, οἱ δείλαιοι,	*eux* qui, les infortunés!
ἀπολώλασι παρὰ οὐδὲν οὕτως	*n*'ont péri à cause de rien autant
ὡς τὸ ποιεῖν τοιαῦτα.	que *à cause* d'agir ainsi.
Ἔχοιτε δὲ ἂν ἐξετάσαι	Or, vous pourriez examiner *cela*
καθαρῶς ἐκ τῶν συμβεβηκότων	clairement d'après les choses arrivées
αὐτοῖς.	à eux.
Ἡνίκα μὲν γὰρ ἐκέκτηντο	En effet, lorsqu'ils possédaient
τετρακοσίους ἱππέας μόνον,	quatre-cents cavaliers seulement,
καὶ σύμπαντες ἦσαν	et *que* tous-ensemble *n*'étaient
οὐδὲν πλείους	pas plus
τῶν πεντακισχιλίων τὸν ἀριθμόν,	que cinq mille par le nombre,
πάντων Χαλκιδέων	tous les Chalcidiens
οὔπω συνῳκισμένων	ne s'étant pas encore constitués
εἰς ἕν,	en une *confédération*,
Λακεδαιμονίων	les Lacédémoniens
ἐλθόντων ἐπὶ αὐτοὺς	étant venus contre eux
πολλῇ δυνάμει	avec beaucoup de troupes
πεζῇ καὶ ναυτικῇ	de-terre et de-mer
(ἴστε γὰρ δήπου τοῦτο,	(car vous savez certainement ceci,
ὅτι Λακεδαιμόνιοι ἦρχον	que les Lacédémoniens dominaient
γῆς καὶ θαλάττης,	*sur* terre et *sur* mer,
ὡς εἰπεῖν ἔπος,	pour dire le mot (pour ainsi dire),
κατὰ ἐκείνους τοὺς χρόνους)·	en ces temps-là);
ἀλλὰ ὅμως	mais cependant (malgré)
δυνάμεως τηλικαύτης	une puissance si grande
ἐλθούσης ἐπὶ αὐτούς,	s'avançant contre eux,
ἐκεῖνοι ἀπώλεσαν	ceux-ci (les Olynthiens) ne perdirent
οὔτε τὴν πόλιν,	ni *leur* ville,
οὔτε οὐδὲν φρούριον,	ni aucune forteresse,
ἀλλὰ καὶ ἐκράτησαν	mais même gagnèrent
πολλὰς μάχας,	beaucoup de batailles,
καὶ ἀπέκτειναν	et tuèrent
τρεῖς τῶν πολεμάρχων,	trois des généraux,
καὶ τὸ τελευταῖον	et finalement
κατέθεντο	terminèrent
τὸν πόλεμον οὕτως	la guerre de-la-manière
ὅπως ἠβούλοντο.	qu'ils voulurent.
Ἐπειδὴ δέ τινες	Mais après que quelques-uns
ἤρξαντο	eurent commencé

ξαντό τινες, καὶ δι' ἀβελτηρίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων, καὶ Λασθένης μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας δοθεῖσι ξύλοις, Εὐθυκράτης δὲ βοῦς ἔτρεφε πολλάς, τιμὴν οὐδενὶ δούς, ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα, ἄλλος δέ τις ἵππους· οἱ δὲ πολλοί, καὶ καθ' ὧν ταῦτα ἐγίγνετο, οὐχ ὅπως ὠργίζοντο, ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦντο· ἐπειδὴ δὲ ταῦθ' οὕτω προήγετο, καὶ τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ' ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθησάντων αὐτοῖς[1], καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν

commencèrent à recevoir des présents; stupide, ou plutôt persécutée par le sort, la foule crut ceux-là plus dignes de confiance que ses orateurs fidèles; Lasthène couvrit sa maison de bois qui lui étaient donnés de Macédoine, Euthycrate nourrit de grands troupeaux de bœufs qu'il n'avait pas achetés; celui-ci revint avec des brebis, celui-là avec des chevaux; le peuple, qu'ils trahissaient, répondit à leur conduite, non par sa colère, non par des punitions, mais par un regard d'admiration et d'envie, par une haute estime pour leurs talents. Dans cette extrémité funeste, dans ce triomphe de la corruption, Olynthe, avec ses mille cavaliers, ses dix mille fantassins, l'alliance de tous ses voisins, vos secours de dix mille étrangers, de quatre mille citoyens et de cinquante trirèmes, Olynthe ne put être

δωροδοκεῖν,	à recevoir-des-présents,
καὶ οἱ πολλοί,	et *que* le grand nombre,
διὰ ἀβελτηρίαν,	par stupidité,
μᾶλλον δὲ διὰ δυστυχίαν,	ou plutôt par mauvais-sort,
ἡγήσαντο τούτους	ont cru ceux-là
πιστοτέρους	plus-dignes-de-confiance
τῶν λεγόντων ὑπὲρ αὐτῶν,	que ceux qui parlaient pour eux,
καὶ Λασθένης μὲν	et *que* Lasthène
ἤρεψε τὴν οἰκίαν	eut couvert *sa* maison
τοῖς ξύλοις δοθεῖσιν	de bois donnés
ἐκ Μακεδονίας,	de Macédoine,
Εὐθυκράτης δὲ	et *qu'*Euthycrate
ἔτρεφε πολλὰς βοῦς,	eut nourri beaucoup de bœufs,
δοὺς τιμὴν οὐδενί,	*n'en* ayant donné le prix à personne,
ἕτερος δέ τις ἧκεν	et *que* quelque autre fut venu
ἔχων πρόβατα,	ayant des brebis,
ἄλλος δέ τις ἵππους·	et quelque autre *ayant* des chevaux;
οἱ δὲ πολλοί,	et *que* le peuple,
καὶ κατὰ ὧν ταῦτα ἐγίγνετο,	contre qui cela se-faisait,
οὐχ ὅπως ὠργίζοντο,	non-seulement ne s'*en* irritait pas,
ἢ ἠξίουν κολάζειν	ou (ni) ne jugeait-à-propos de punir
τοὺς ποιοῦντας ταῦτα,	ceux-qui-faisaient cela,
ἀλλὰ ἀπέβλεπον, ἐζήλουν,	au-contraire *les* admirait, *les* enviait,
ἐτίμων,	*les* honorait,
ἡγοῦντο ἄνδρας·	*les* croyait hommes-de-mérite;
ἐπειδὴ δὲ ταῦτα	après que ces *abus*
προήγετο οὕτω,	furent-poussés jusque-là,
καὶ τὸ δωροδοκεῖν	et *que* l'*acte de* recevoir-des-présents
ἐκράτησε,	eut prédominé,
κεκτημένοι μὲν	*les Olynthiens*, qui possédaient
χιλίους ἱππέας,	mille cavaliers,
ὄντες δὲ πλείους ἢ μύριοι,	et qui étaient plus que dix-mille
ἔχοντες δὲ συμμάχους	et qui avaient *pour* alliés
πάντας τοὺς περιχώρους,	tous les habitants-de-la-contrée,
ὑμῶν δὲ βοηθησάντων αὐτοῖς	vous ayant secouru eux
μυρίοις ξένοις	de dix-mille étrangers
καὶ πεντήκοντα τριήρεσι,	et de cinquante trirèmes,
καὶ ἔτι τετρακισχιλίοις	et, en surplus, de quatre mille
τῶν πολιτῶν,	des citoyens *Athéniens*,
οὐδὲν τούτων	aucun de ces *secours*

αὐτοὺς τούτων ἠδυνήθη σῶσαι· ἀλλὰ πρὶν μὲν ἐξελθεῖν ἐνιαυτὸν τοῦ πολέμου, τὰς πόλεις ἁπάσας ἀπολωλέκεσαν τὰς ἐν τῇ Χαλκιδικῇ οἱ προδιδόντες, καὶ Φίλιππος οὐχ ὑπεῖχεν ὑπακούων τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν ὅ τι πρῶτον λάβῃ. Πεντακοσίους δ' ἱππέας, προδοθέντας ὑπ' αὐτῶν τῶν ἡγεμόνων, ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος, ὅσους οὐδεὶς πώποτε ἄλλος ἀνθρώπων. Καὶ οὔτε τὸν ἥλιον ᾐσχύνοντο οἱ ταῦτα ποιοῦντες, οὔτε τὴν γῆν πατρίδα οὖσαν, ἐφ' ἧς ἕστασαν, οὔτε ἱερά, οὔτε τάφους, οὔτε τὴν μετὰ ταῦτα γενησομένην αἰσχύνην ἐπὶ τοῖς τοιούτοις ἔργοις. Οὕτως ἔκφρονας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραπλῆγας τὸ δωροδοκεῖν ποιεῖ. Ὑμᾶς οὖν, ὑμᾶς εὖ φρονεῖν δεῖ, τοὺς πολλούς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κολάζειν δημοσίᾳ. Καὶ γὰρ ἂν

sauvée. En moins d'une année de guerre, elle avait perdu, grâce aux traîtres, toutes les villes de la Chalcidique. Philippe, qui ne suffisait plus aux offres de la trahison, ne savait quelle proie saisir la première. Il prit d'un seul coup cinq cents cavaliers avec leurs armes, qui lui étaient livrés par les chefs mêmes : succès sans exemple! Lumière du jour, sol de la patrie, temples, tombeaux, les coupables ne respectaient rien, pas même la renommée qui allait verser l'infamie sur de telles actions : tant il y a d'égarement et de délire, ô Athéniens! dans la cupidité! Vous, du moins, vous, soyez plus sages; poursuivez, punissez les mêmes crimes au nom de la nation. Il serait

ἠδυνήθη σῶσαι αὐτούς·	ne put sauver eux ;
ἀλλά,	mais,
πρὶν μὲν ἐνιαυτὸν τοῦ πολέμου	avant *qu'*une année de guerre
ἐξελθεῖν,	fût écoulée,
οἱ προδιδόντες ἀπολωλέκεσαν	les traîtres avaient perdu
ἁπάσας τὰς πόλεις	toutes les villes
τὰς ἐν τῇ Χαλκιδικῇ,	*situées* dans la Chalcidique,
καὶ Φίλιππος οὐχ ὑπεῖχεν	et Philippe ne suffisait pas
ὑπακούων	écoutant (à écouter)-les-propositions
τοῖς προδιδοῦσιν,	des traîtres,
οὐδὲ εἶχεν	et n'avait (ne savait)
ὅ τι λάβῃ	quoi il prendrait (quoi prendre)
πρῶτον.	le premier.
Ὁ δὲ Φίλιππος ἔλαβεν	Philippe prit
ὅπλοις αὐτοῖς	avec *leurs* armes mêmes
πεντακοσίους ἱππέας,	cinq-cents cavaliers,
προδοθέντας	livrés
ὑπὸ τῶν ἡγεμόνων αὐτῶν,	par les chefs mêmes,
ὅσους οὐδεὶς ἄλλος	*c'est-à-dire, autant* qu'aucun autre
ἀνθρώπων	des hommes
πώποτε.	*n'en prit* jamais.
Καὶ οἱ ποιοῦντες ταῦτα	Et ceux qui faisaient cela
ᾐσχύνοντο οὔτε τὸν ἥλιον,	n'avaient-d'égards ni pour le soleil,
οὔτε τὴν γῆν οὖσαν πατρίδα,	ni pour la terre qui était *leur* patrie,
ἐπὶ ἧς ἕστασαν,	sur laquelle ils étaient-debout,
οὔτε ἱερά, οὔτε τάφους,	ni pour temples, ni pour tombeaux,
οὔτε αἰσχύνην	ni pour la honte
τὴν γενησομένην	qui sera (qui résultera)
μετὰ ταῦτα	après cela
ἐπὶ τοῖς τοιούτοις ἔργοις.	au-sujet-de pareilles actions.
Οὕτως ἔκφρονας καὶ παραπλῆγας	Tellement insensés et fous
τὸ δωροδοκεῖν	l'*acte de* recevoir-des-présents
ποιεῖ,	rend *les hommes,*
ὦ ἄνδρες Ἀθηναῖοι.	ô hommes Athéniens.
Δεῖ οὖν ὑμᾶς,	Il faut donc *que* vous,
ὑμᾶς τοὺς πολλούς	vous le grand-nombre,
φρονεῖν εὖ,	pensiez bien (soyez prudents),
καὶ μὴ ἐπιτρέπειν	et ne permettiez pas
τὰ τοιαῦτα,	de tels *actes,* [quement.
ἀλλὰ κολάζειν δημοσίᾳ.	mais *que* vous *les* punissiez publi-

καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους προδόντων πολλὰ καὶ δεινὰ ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας μὴ κολάζοντες φαίνοισθε. Λέγε οὖν τὸ ψήφισμά μοι τὸ περὶ τῶν Ὀλυνθίων.

ΨΗΦΙΣΜΑ.

Ταῦθ' ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ καλῶς πᾶσιν Ἕλλησί τε καὶ Βαρβάροις δοκεῖτε ἐψηφίσθαι, κατ' ἀνδρῶν προδοτῶν, καὶ θεοῖς ἐχθρῶν. Ἐπειδὴ τοίνυν τὸ δωροδοκεῖν πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστι, καὶ δι' ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δωροδοκοῦντα ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομίζετε. Εἰ δὲ ὁ μὲν καιρούς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν μὲν ἂν ἕκαστος, οἶμαι, κύριος γένηται, ταῦτα διαφθείρει. Μισεῖν δ' ὁμοίως τοὺς τοιούτους ἅπαντας προςήκει. Ἔστι δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ

étrange qu'après le décret énergique lancé par vous contre les traîtres d'Olynthe, on ne vous vît pas châtier la perfidie dans Athènes. — Lis ce décret.

DÉCRET.

Les Hellènes et les Barbares ont applaudi, ô juges, à vos décisions contre des traîtres, contre des ennemis des dieux. Puisque des présents reçus sont le prélude et la cause des trahisons, celui qui en a reçu, regardez-le comme traître à la patrie. Si l'un livre les instants précieux, un second les moyens d'agir, un autre les troupes, c'est que chacun ne ruine que ce dont il peut disposer; mais tous méritent également votre haine. A vous seuls entre tous les peuples, ô Athé-

Καὶ γὰρ εἴη ἂν καὶ ὑπερφυές,	Car il serait même monstrueux,
εἰ ἐψηφίσασθε μὲν	si vous avez décrété, d'une part,
πολλὰ	beaucoup de *punitions*
καὶ δεινὰ	et des *punitions* sévères
κατὰ τῶν προδόντων	contre ceux qui ont trahi
Ὀλυνθίους,	les Olynthiens,
φαίνοισθε δὲ	*et si* vous paraissiez, d'autre part,
μὴ κολάζοντες	ne punissant point
τοὺς ἀδικοῦντας	ceux qui prévariquent
παρὰ ὑμῖν αὐτοῖς.	chez vous-mêmes.
Λέγε οὖν μοι τὸ ψήφισμα	Lis-moi donc le décret
τὸ περὶ τῶν Ὀλυνθίων.	concernant les Olynthiens.

ΨΗΦΙΣΜΑ.	DÉCRET.
Ὑμεῖς, ὦ ἄνδρες δικασταί,	Vous, ô hommes juges,
δοκεῖτε πᾶσιν Ἕλλησί τε	vous paraissez et à tous les Grecs
καὶ Βαρβάροις ἐψηφίσθαι	et à *tous* les Barbares avoir décrété
ταῦτα ὀρθῶς καὶ καλῶς	cela régulièrement et bien
κατὰ ἀνδρῶν προδοτῶν	contre des hommes traîtres
καὶ ἐχθρῶν θεοῖς.	et ennemis aux (des) dieux.
Ἐπειδὴ τοίνυν	Puisque donc
τὸ δωροδοκεῖν	l'*acte de* recevoir-des-présents
ἐστι πρότερον	est antérieur
τοῦ ποιεῖν τὰ τοιαῦτα,	à celui de faire de telles choses,
καί τινες	et *puisque* quelques *hommes*
πράττουσι καὶ τάδε	font aussi ces choses
διὰ ἐκεῖνο,	par-suite-de cet *acte*,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
νομίζετε τοῦτον	estimez *que* celui-là
εἶναι καὶ προδότην,	est aussi un traître,
ὃν ἂν ἴδητε δωροδοκοῦντα.	que vous savez recevant-des-présents.
Εἰ δὲ ὁ μὲν	Si celui-ci
προδίδωσι καιρούς,	livre *seulement* les occasions,
ὁ δὲ πράγματα,	celui-là les moyens-d'agir,
ὁ δὲ στρατιώτας,	celui-là les soldats,
οἶμαι, ἕκαστος μὲν διαφθείρει	*c'est*, je pense, *que* chacun ruine
ταῦτα ὧν ἂν γένηται κύριος.	ce dont il peut avoir été disposant.
Προσήκει δὲ μισεῖν ὁμοίως	Mais il convient de haïr également
ἅπαντας τοὺς τοιούτους.	tous les *hommes* pareils.
Ἔστι δὲ ὑμῖν,	Or il est *donné* à vous,

τούτων, μόνοις πάντων τῶν ἄλλων ἀνθρώπων, οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς προγόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. Καὶ γάρ, εἰ μὴ τὰς μάχας, μηδὲ τὰς στρατείας, μηδὲ τοὺς κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι λαμπροί, ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς, ἀλλ' ἄγεθ' ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γ' εὖ φρονεῖν αὐτῶν μιμεῖσθε. Τούτου γὰρ πανταχοῦ χρεία. Καὶ οὐδέν ἐστι πραγματωδέστερον, οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς, ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν ἕκαστος, ἂν μέν, ἃ χρή, γιγνώσκῃ περὶ τῶν πραγμάτων καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει, καὶ ἄξια τῶν προγόνων πράξει· ἂν δ', ἃ μὴ δεῖ, φαυλότερά τε καὶ ἀνάξια τῶν προγόνων ποιήσει. Τί οὖν ἐκεῖνοι περὶ

niens, il est donné de suivre, en cela, des exemples nationaux, et d'imiter, par vos œuvres, des aïeux que vous avez raison de louer. Si l'état présent de la République, si votre tranquillité actuelle ne vous permettent pas d'être leurs émules dans les batailles, dans les expéditions, dans les périls qui les ont illustrés, ah! du moins, imitez leur prudence. La prudence est un besoin de tous les temps, et il n'en coûte pas plus d'avoir de nobles sentiments que d'en avoir de bas. Les heures pendant lesquelles vous siégez, employez-les à connaître, à décider ce qui convient dans chaque affaire : vous ferez ainsi prospérer la chose publique, vous soutiendrez la gloire de vos ancêtres; une mauvaise décision serait funeste, serait indigne de nos pères. Quelle était donc leur pensée sur la corruption politique? Gref-

ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
μόνοις	*à vous* seuls [ples),
πάντων τῶν ἄλλων ἀνθρώπων,	entre tous les autres hommes (peu-
χρῆσθαι	de vous servir
παραδείγμασιν οἰκείοις	d'exemples propres (nationaux)
περὶ τούτων,	touchant ces choses,
καὶ μιμεῖσθαι ἔργῳ	et d'imiter par le fait
τοὺς προγόνους,	les aïeux,
οὓς ἐπαινεῖτε δικαίως.	que vous louez justement.
Καὶ γάρ, εἰ,	Car si,
ἐν τοῖς καιροῖς νῦν,	dans les circonstances *de* maintenant
μὴ συμβαίνει	il n'arrive pas
μιμεῖσθαι τὰς μάχας,	d'imiter les combats,
μηδὲ τὰς στρατείας,	ni les expéditions,
μηδὲ τοὺς κινδύνους,	ni les dangers,
ἐν οἷς ἐκεῖνοι ἦσαν λαμπροί,	dans lesquels ceux-ci étaient illustres,
ἀλλὰ ὑμεῖς ἄγετε ἡσυχίαν	*si,* au-contraire, vous menez (gardez)
ἐν τῷ παρόντι,	dans le *temps* présent, [la paix
ἀλλὰ μιμεῖσθέ γε	imitez du moins
τὸ φρονεῖν εὖ αὐτῶν.	le penser sagement d'eux (des aïeux).
Χρεία γὰρ τούτου πανταχοῦ.	Besoin *est,* en effet, de cela toujours.
Καὶ τὸ φρονεῖν καλῶς	Et le penser sagement
ἐστιν οὐδὲν πραγματωδέστερον	n'est en rien plus fatigant
οὐδὲ ὀχληρότερον	ni plus importun
τοῦ κακῶς,	que *penser* follement;
ἀλλά, ἂν μὲν ἕκαστος ὑμῶν	mais, si chacun de vous
γιγνώσκῃ καὶ ψηφίζηται	examine et décrète
ἃ χρὴ περὶ τῶν πραγμάτων,	ce qu'il faut concernant les affaires,
ἐν τῷ χρόνῳ ἴσῳ	pendant le temps égal
καθήμενος νυνί,	*qu'il est* siégeant maintenant,
ποιήσει τὰ κοινὰ	il rendra les *affaires* générales
βελτίω τῇ πόλει,	meilleures pour l'État,
καὶ πράξει ἄξια	et il fera choses dignes
τῶν προγόνων·	des aïeux;
ἂν δὲ	si, au-contraire,
ἃ μὴ δεῖ,	*il décrète* ce qu'il ne faut pas,
ποιήσει φαυλότερά τε	il rendra *les affaires* plus mauvaises,
καὶ ἀνάξια τῶν προγόνων.	et *fera des choses* indignes des aïeux.
Τί οὖν ἐκεῖνοι	Quoi donc ceux-ci
ἐφρόνουν περὶ τούτων;	pensaient-ils touchant cela?

τούτων ἐφρόνουν; Ταυτὶ λαβὼν ἀνάγνωθι, γραμματεῦ[1]. Δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι ἐπὶ τοῖς τοιούτοις ἔργοις ῥᾳθυμεῖτε, ὧν θάνατον κατεγνώκασιν ὑμῶν οἱ πρόγονοι. Λέγε ταῦτα.

ΣΤΗΛΗ.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν γραμμάτων λεγόντων· Ἄρθμιον τὸν Πυθώνακτος, τὸν Ζελείτην, ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος ἅπαν. Διὰ τί; ὅτι τὸν χρυσόν, τὸν ἐκ τῶν Βαρβάρων, εἰς τοὺς Ἕλληνας ἤγαγεν. Οὐκοῦν ἐστιν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν, ὅτι οἱ πρόγονοι μὲν ὑμῶν, ὅπως μηδ' ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι μηδὲν ἐργάσηται κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον· ὑμεῖς δὲ οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν ἀδικήσῃ, προορᾶσθε. Νὴ Δί', ἀλλ' ὅπως ἔτυχε, ταῦτα τὰ γράμματα

fier, prends cette pièce, et fais-en lecture. Il faut vous montrer que vous mollissez contre des actes que punissaient de mort vos aïeux. — Lis.

INSCRIPTION DE LA COLONNE.

Vous l'entendez, ô Athéniens, cette inscription, qui déclare ennemi du peuple d'Athènes, ennemi de ses alliés, Arthmios de Zélia, fils de Pythonax, lui et sa race entière : pourquoi? pour avoir apporté chez les Hellènes l'or des Barbares. La conclusion naturelle, c'est que vos pères veillaient à ce que même un seul étranger ne nuisît, avec l'or, aux intérêts de la Grèce, tandis que vous ne prémunissez pas même Athènes contre les attentats d'un Athénien. Et, cette inscription, l'a-t-on placée au hasard? non, par Jupiter! mais dans l'enceinte vaste

Γραμματεῦ, λαβὼν ταυτί,	Greffier, ayant pris ceci,
ἀνάγνωθι.	lis-*le*.
Δεῖ γὰρ ὑμᾶς εἰδέναι	Car il faut *que* vous sachiez
ὅτι ῥᾳθυμεῖτε	que vous mollissez
ἐπὶ τοῖς τοιούτοις ἔργοις	contre de tels actes
ὧν οἱ πρόγονοι ὑμῶν	contre lesquels les ancêtres de vous
κατεγνώκασι θάνατον.	ont prononcé la mort.
Λέγε ταῦτα.	Lis cela.

ΣΤΗΛΗ.	*Inscription de la* COLONNE.
Ἀκούετε,	Vous entendez,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
τῶν γραμμάτων λεγόντων·	les lettres (l'inscription) disant :
Ἄρθμιον τὸν Πυθώνακτος,	*qu'*Arthmios, le *fils* de Pythonax,
τὸν Ζελείτην,	le Zélitain,
αὐτὸν καὶ ἅπαν γένος,	lui-même et toute *sa* race,
εἶναι ἐχθρὸν καὶ πολέμιον	est ennemi et ennemi-de-guerre
τοῦ δήμου τῶν Ἀθηναίων,	du peuple des Athéniens,
καὶ τῶν συμμάχων.	et de ses alliés.
Διὰ τί;	Pourquoi?
ὅτι ἤγαγεν εἰς τοὺς Ἕλληνας	parce qu'il a introduit chez les Grecs
τὸν χρυσὸν	l'or
τὸν ἐκ τῶν Βαρβάρων.	de chez les Barbares.
Οὐκοῦν ἐστιν ἰδεῖν ἐκ τούτων,	Donc il est *possible* de voir par ces [choses,
ὡς ἔοικεν,	comme il paraît (vraisemblablement),
ὅτι οἱ πρόγονοι μὲν ὑμῶν	que les aïeux de vous
ἐφρόντιζον	avaient-souci
ὅπως μηδὲ μηδεὶς ἄλλος	que nul autre
ἀνθρώπων	des hommes
ἐργάσηται μηδὲν κακὸν	ne fît nul mal
τὴν Ἑλλάδα	à la Grèce
ἐπὶ χρήμασιν·	pour de l'argent;
ὑμεῖς δὲ	*que* vous, au-contraire,
οὐδὲ προορᾶσθε ὅπως	vous ne pourvoyez même pas à-ce-que
μηδεὶς τῶν πολιτῶν	aucun des citoyens *Athéniens*
ἀδικήσῃ τὴν πόλιν αὐτήν.	*ne* nuise à la République elle-même.
Νὴ Δία,	Par Jupiter!
ἀλλὰ ταῦτα τὰ γράμματα	est-ce que cette inscription
ἕστηκεν	a été placée
ὅπως ἔτυχεν;	comme elle se trouva (au hasard)?

ἕστηκεν; ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς Ἀκροπόλεως ταυτησί, καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐν δεξιᾷ ἕστηκεν· ἣν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς Βαρβάρους πολέμου, δόντων τῶν Ἑλλήνων τὰ χρήματα ταῦτα, ἀνέθηκε. Τότε μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον, καὶ τὸ κολάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό τε ἀριστεῖον τῆς θεοῦ, καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτα ἀδικούντων τιμωρίαι. Νῦν δὲ γέλως, ἄδεια, αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ἐξουσίαν ταύτην σχήσετε νῦν ὑμεῖς.

Νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ καὶ κατὰ πάντα, ὅσα ἔπραττον, ἐφεξῆς. Ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες, εὖ

et consacrée de l'Acropole que voilà, mais à droite de la grande Minerve d'airain, glorieux monument de la guerre contre les Barbares, érigé par la République aux frais de la Grèce. Alors la justice était chose si sainte, la punition d'un tel crime si importante, qu'on crut devoir placer ensemble et la statue de la déesse, gage de notre valeur, et la sentence du coupable. Mais aujourd'hui, si vous n'arrêtez le débordement de la licence, l'impunité se fera un jeu de cette infamie.

Et ce n'est pas dans cette action seule, ô Athéniens, que vous devriez imiter vos ancêtres, c'est dans toute la suite de leur conduite. On vous a raconté, sans doute, que Callias, fils d'Hipponique, négo-

ἀλλὰ ἕστηκεν ἐν δεξιᾷ	*non,* mais elle a été placée à droite
παρὰ τὴν μεγάλην Ἀθηνᾶν	près de la grande Minerve
τὴν χαλκῆν,	d'-airain,
τῆς Ἀκροπόλεως ταυτησὶ	l'Acropolis que-voici
οὔσης ὅλης ἱερᾶς,	étant *cependant* tout-entière consa-
καὶ ἐχούσης	et ayant [crée,
πολλὴν εὐρυχωρίαν·	une grande étendue :
ἣν ἡ πόλις ἀνέθηκεν	*Minerve* que la ville a érigée
ἀριστεῖον	*comme* monument-de-la-valeur
πολέμου	à la guerre
τοῦ πρὸς τοὺς Βαρβάρους,	contre les Barbares,
τῶν Ἑλλήνων δόντων	les Grecs ayant donné [matériaux).
τὰ χρήματα ταῦτα.	cet argent (l'argent, ou peut-être les
Τότε μὲν τοίνυν τὸ δίκαιον	Donc alors le juste (la justice)
ἦν σεμνόν, καὶ τὸ κολάζειν	était vénérable, et l'*acte de* punir
τοὺς ποιοῦντας τὰ τοιαῦτα	ceux qui faisaient de telles *actions*
ἔντιμον οὕτως ὥςτε	*était* honorable tellement que
τό τε ἀριστεῖον τῆς θεοῦ	et le monument-guerrier de la déesse
καὶ αἱ τιμωρίαι	et les punitions
κατὰ τῶν ἀδικούντων	contre ceux qui commettaient
τὰ τοιαῦτα	de telles *prévarications*
ἠξιοῦτο τῆς αὐτῆς στάσεως.	furent jugés-dignes de la même place.
Νῦν δὲ γέλως,	Mais maintenant *il y aura* ridicule,
ἄδεια, αἰσχύνη,	impunité, honte,
εἰ ὑμεῖς μὴ σχήσετε	si vous ne réprimez point
νῦν	aujourd'hui
ταύτην ἐξουσίαν τὴν ἄγαν.	cette licence trop *grande* (excessive).
Νομίζω τοίνυν ὑμᾶς,	Or je crois *que* vous,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ποιεῖν ἂν ὀρθῶς μιμουμένους	vous feriez bien imitant (d'imiter)
τοὺς προγόνους	les ancêtres
οὐ μόνον	non-seulement
κατὰ ἕν τι,	en une *action* quelconque,
ἀλλὰ καὶ ἐφεξῆς	mais aussi avec suite
κατὰ πάντα, ὅσα ἔπραττον.	en tout *ce* qu'ils faisaient.
Ὡς τοίνυν ἅπαντες ἀκηκόατε	Car, comme tous vous avez entendu
τοῦτον τὸν λόγον,	ce récit,
οἶδα εὖ ὅτι,	je sais bien que *vous l'avez entendu,*
ἐκεῖνοι μικροῦ μὲν	ceux-ci (les ancêtres) peu *s'en faut*
ἀπέκτειναν,	firent-mourir,

οἶδ' ὅτι, τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου, ταύτην τὴν ὑπὸ πάντων θρυλλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ καταβαίνειν ἐπὶ τὴν θάλατταν βασιλέα, ἐντὸς δὲ Χελιδονέων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ πλεῖν[1], ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν· ἐν δὲ ταῖς εὐθύναις πεντήκοντα τάλαντα ἐπράξαντο. Καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρότερον, οὔθ' ὕστερον, οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν πόλιν[2]. Ἀλλ' οὐ τοῦτ' ἐσκόπουν. Τούτου μὲν γὰρ ἡγοῦντο τὴν ἑαυτῶν ἀρετήν, καὶ τὴν τῆς πόλεως δόξαν, αἰτίαν εἶναι· τοῦ δὲ προῖκα, ἢ μή, τὸν τρόπον τοῦ πρεσβευτοῦ. Τοῦτον οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκητον τὸν προσιόντα τοῖς κοινοῖς. Ἐκεῖνοι μὲν οὖν οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν, καὶ ἀλυσιτελὲς τῇ πόλει, ὥστε μήτ' ἐπὶ

ciateur de ce célèbre traité de paix qui défendait au grand roi de faire avancer des troupes à une journée de la mer, et de naviguer, avec un gros vaisseau, entre les îles Cyanées et les Chélidoniennes, faillit perdre la vie sur l'apparence de présents reçus dans son ambassade, et fut condamné, quand il rendit ses comptes, à une amende de cinquante talents. Toutefois, jamais paix plus honorable ne fut, ni avant, ni depuis, conclue par la République. Là cependant ne se portait pas leur sollicitude : cette gloire était, selon eux, le fruit de leur bravoure et du renom d'Athènes; mais à l'acceptation ou au refus de l'or ils reconnaissaient le caractère du député. Or, ils voulaient que tout homme public fût intègre et incorruptible; et la vénalité leur paraissait une si funeste ennemie de l'État, qu'ils ne la tolé-

ὅτι ἔδοξε	parce qu'il parut
λαβεῖν δῶρα	avoir reçu des présents
πρεσβεύσας,	étant-ambassadeur,
Καλλίαν τὸν Ἱππονίκου,	Callias, le *fils* d'Hipponique,
πρεσβεύσαντα	qui avait négocié
ταύτην τὴν εἰρήνην	ce traité-de-paix
θρυλλουμένην ὑπὸ πάντων,	célébré par tous,
βασιλέα	*portant que* le roi *de Perse*
μὴ καταβαίνειν μὲν	ne s'approchera pas
ἐπὶ τὴν θάλατταν πεζῇ	de la mer avec troupes-de-terre
δρόμον ἵππου ἡμέρας,	de la course d'un cheval en un jour,
μὴ πλεῖν δὲ	et *qu*'il ne naviguera point
πλοίῳ μακρῷ	sur un vaisseau long
ἐντὸς Χελιδονέων	en-deçà des *îles* Chélidoniennes
καὶ Κυανέων·	et des *îles* Cyanées;
ἐν δὲ ταῖς εὐθύναις	et dans la reddition-de-ses-comptes
ἐπράξαντο	*lui* demandèrent
πεντήκοντα τάλαντα.	cinquante talents.
Καίτοι οὐδεὶς ἂν ἔχοι εἰπεῖν	Toutefois personne ne pourrait citer
τὴν πόλιν	la République
πεποιημένην εἰρήνην	ayant fait traité-de-paix
καλλίω ταύτης	plus honorable que celui-là
οὔτε πρότερον, οὔτε ὕστερον.	ni auparavant, ni ensuite.
Ἀλλὰ οὐκ ἐσκόπουν τοῦτο.	Mais ils ne considéraient pas cela.
Ἡγοῦντο μὲν γὰρ	Car ils pensaient
τὴν ἀρετὴν ἑαυτῶν	*que* la valeur d'eux-mêmes
καὶ τὴν δόξαν τῆς πόλεως	et la gloire de la République
εἶναι αἰτίαν τούτου·	étaient cause de cela;
τὸν δὲ τρόπον	mais *que* le caractère
τοῦ πρεσβευτοῦ	de l'ambassadeur *était cause*
τοῦ προῖκα,	d'*avoir traité* avec-désintéresse-
ἢ μή.	ou non. [ment,
Ἠξίουν οὖν	Donc ils estimaient-convenable
τοῦτον	*que* celui-là [ques
τὸν προσιόντα τοῖς κοινοῖς	qui approchait des *affaires* publi-
παρέχεσθαι δίκαιον	se présentât intègre
καὶ ἀδωροδόκητον.	et inaccessible-aux-présents.
Ἐκεῖνοι μὲν οὖν ἡγοῦντο	Ainsi, d'un côté, ils considéraient
τὸ δωροδοκεῖν ἐχθρὸν	la vénalité *comme* ennemie
καὶ ἀλυσιτελὲς τῇ πόλει,	et funeste à la République,

πράξεως μηδεμιᾶς, μήτ' ἐπ' ἀνδρὸς ἐᾶν γίγνεσθαι. Ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν εἰρήνην ἑωρακότες, τὰ μὲν τῶν συμμάχων τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων οἰκίας οἰκοδομοῦσαν· καὶ τὰ μὲν τῆς πόλεως κτήματα ἀφῃρημένην, τούτοις δ' ἃ μηδ' ὄναρ ἤλπισαν πώποτε, κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ κρίνετε, ὧν ἔργῳ τἀδικήματα πάντες ὁρῶσιν.

Οὐ τοίνυν τὰ παλαιὰ ἄν τις ἔχοι μόνον εἰπεῖν, καὶ διὰ τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι· ἀλλ' ἐφ' ὑμῶν τουτωνὶ τῶν ἔτι ζώντων ἀνθρώπων πολλοὶ δίκην δεδώκασιν· ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω, τῶν δ' ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω κακα τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων, ἑνὸς ἢ δυοῖν ἐπιμνησθήσομαι. Καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών. Λέγε.

raient ni dans les affaires, ni dans les personnes. Et vous, Athéniens, après avoir vu la même paix renverser les remparts de vos alliés et bâtir des maisons à ses négociateurs, dépouiller la patrie de ses domaines et enrichir vos mandataires au delà de tous les rêves de leur ambition, vous ne les avez pas spontanément mis à mort! Il vous faut un accusateur! C'est sur des paroles que vous jugez des crimes attestés à tous les yeux par les faits!

Les anciens exemples ne sont pas les seuls qu'on pourrait citer pour vous exhorter à punir. Des Athéniens qui vivent encore ont vu la justice frapper plusieurs citoyens. Je me bornerai à en nommer deux ou trois, qui furent punis de mort à l'occasion d'une mission bien moins funeste à la patrie que celle d'Eschine. — Prends leur sentence, et lis.

οὕτως ὥστε ἐᾶν γίγνεσθαι
μήτε ἐπὶ μηδεμιᾶς πράξεως,
μήτε ἐπὶ ἀνδρός.
Ὑμεῖς δέ,
ὦ ἄνδρες Ἀθηναῖοι,
ἑωρακότες τὴν αὐτὴν εἰρήνην
καθῃρηκυῖαν μὲν τὰ τείχη
τῶν συμμάχων τῶν ὑμετέρων,
οἰκοδομοῦσαν δὲ τὰς οἰκίας
τῶν πρέσβεων·
καὶ ἀφῃρημένην μὲν
τὰ κτήματα τῆς πόλεως,
κτησαμένην δὲ τούτοις
ἃ μηδὲ ἤλπισαν πώποτε ὄναρ,
οὐκ ἀπεκτείνατε
τούτους αὐτοί,
ἀλλὰ προςδεῖσθε κατηγόρου,
καὶ κρίνετε λόγῳ
ὧν πάντες ὁρῶσι
τὰ ἀδικήματα ἔργῳ.
Τίς τοίνυν οὐκ ἂν ἔχοι εἰπεῖν
μόνον τὰ παλαιά,
καὶ παρακαλέσαι ὑμᾶς
ἐπὶ τιμωρίαν
διὰ τούτων τῶν παραδειγμάτων·
ἀλλά, ἐπὶ ὑμῶν τουτωνὶ
τῶν ἔτι ζώντων,
πολλοὶ ἀνθρώπων
δεδώκασι δίκην·
ὧν ἐγὼ παραλείψω μὲν
τοὺς ἄλλους,
ἐπιμνησθήσομαι δὲ
ἑνὸς ἢ δυοῖν
τῶν ζημιωθέντων θανάτῳ
ἐκ πρεσβείας,
ἣ εἴργασται τὴν πόλιν κακὰ
πολὺ ἐλάττω ταύτης.
Καὶ λέγε μοι
λαβὼν
τουτὶ τὸ ψήφισμα. Λέγε.

au point de *ne la* laisser exister
ni dans aucune action,
ni chez *aucun* personnage.
Vous, d'un-autre-côté,
ô hommes Athéniens,
ayant vu le même traité-de-paix
renversant les remparts
des alliés vôtres,
et bâtissant des maisons
aux députés;
et enlevant
les possessions de la République,
et faisant-acquérir à ceux-ci *des biens*
qu'ils n'espérèrent jamais *même* en
vous n'avez pas fait-mourir [songe,
eux *de vous*-mêmes,
mais vous avez-besoin d'accusateur,
et vous jugez sur un discours
des hommes dont tous voient
les prévarications par le fait!
Or on n'aurait pas à citer
seulement les anciens *événements*,
et à exhorter vous
à la punition
par ces exemples-là;
mais, du-temps-de vous ici-présents
encore vivants,
beaucoup d'hommes
ont donné justice (été punis) :
parmi lesquels je laisserai-de-côté
les autres,
mais je rappellerai
un ou deux
de ceux punis de mort
pour une ambassade
qui a fait à l'État des maux
bien moindres *que* celle-là.
Lis-moi aussi,
*l'*ayant prise,
cette sentence. Lis.

ΨΗΦΙΣΜΑ.

Κατὰ τουτὶ τὸ ψήφισμα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πρέσβεων ἐκείνων ὑμεῖς θάνατον κατεγνώκατε, ὧν εἷς ἦν Ἐπικράτης[1], ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος, καὶ πολλὰ χρήσιμος τῇ πόλει, καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τὸν δῆμον, καὶ ἄλλως δημοτικός. Ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων· δικαίως· οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδέ, τὸ πιστευθῆναι προλαβόντα παρ' ὑμῶν, εἰς τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆσθαι· ἀλλ' ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. Εἰ τοίνυν τι τούτων ἄπρακτόν ἐστι τούτοις, ἐφ' οἷς ἐκείνων θάνατος κατέγνωσται, ἐμὲ ἀποκτείνατε ἤδη. Σκοπεῖτε γάρ. «Ἐπειδὴ παρὰ τὰ γράμματα, φησίν, ἐπρέσβευσαν ἐκεῖνοι, καὶ τὸ ψήφισμα,» καὶ τοῦτ'

SENTENCE.

Par cet arrêt, ô Athéniens, vous avez condamné à la peine capitale ces députés qui comptaient parmi eux Épicrate, citoyen zélé et très-utile, disent nos vieillards; un de ceux qui avaient ramené le peuple du Pirée, un démocrate sincère. Rien de tout cela n'a pu, rien n'a dû le sauver. C'est que celui qui s'est chargé de fonctions aussi importantes ne doit pas être intègre à demi, ni s'armer de votre confiance pour vous porter de plus rudes coups; mais ne vous faire aucun tort volontaire est pour lui un absolu devoir. Eh bien! si, de tous les délits qui ont coûté la vie à ces députés, il en est un seul que les nôtres n'aient pas commis, faites-moi mourir à l'instant. Examinez : *Attendu*, dit la sentence, *que les députés ont agi contre leurs instruc-*

ΨΗΦΙΣΜΑ.

Κατὰ τουτὶ τὸ ψήφισμα,
ὦ ἄνδρες Ἀθηναῖοι,
ὑμεῖς κατεγνώκατε θάνατον
ἐκείνων τῶν πρέσβεων
ὧν Ἐπικράτης ἦν εἷς,
ἀνὴρ σπουδαῖος,
ὡς ἐγὼ ἀκούω
τῶν πρεσβυτέρων,
καὶ χρήσιμος τῇ πόλει
πολλά,
καὶ τῶν καταγαγόντων
τὸν δῆμον ἐκ Πειραιῶς,
καὶ ἄλλως δημοτικός.
Ἀλλὰ ὅμως οὐδὲν τούτων
ὠφέλησεν αὐτόν·
δικαίως·
οὐ γὰρ δεῖ τὸν ἀξιοῦντα
διοικεῖν
τὰ τηλικαῦτα
εἶναι χρηστὸν ἐπὶ ἡμισείᾳ,
οὐδὲ προλαβόντα
τὸ πιστευθῆναι παρὰ ὑμῶν
καταχρῆσθαι
εἰς τὸ δύνασθαι
κακουργεῖν μείζω·
ἀλλὰ ἁπλῶς ἀδικεῖν μηδὲν
ὑμᾶς ἑκόντα.
Εἰ τοίνυν τι τούτων
ἐπὶ οἷς θάνατος
κατέγνωσται ἐκείνων,
ἐστὶν ἄπρακτον
τούτοις,
ἀποκτείνατε ἐμὲ ἤδη.
Σκοπεῖτε γάρ.
« Ἐπειδή, φησίν,
ἐκεῖνοι ἐπρέσβευσαν
παρὰ τὰ γράμματα
καὶ τὸ ψήφισμα, »

SENTENCE.

D'après cette sentence,
ô hommes Athéniens,
vous prononçâtes la mort
contre ces ambassadeurs
dont Épicrate était un,
personnage zélé,
comme je *l'*entends *dire*
à de plus âgés,
et utile à la République
beaucoup,
et *l'un* de ceux qui ramenèrent
le peuple du Pirée, [tie.
et d'ailleurs partisan-de-la-démocra-
Mais cependant rien de cela
ne secourut lui :
c'était avec-justice : [mande
car il ne faut pas *que* celui qui de-
à administrer
des *affaires* si-importantes
soit honnête *homme* à demi,
ni *que, se*-prévalant
d'être cru par vous,
il *en* abuse
pour pouvoir
faire-des-maux plus grands ; [rien
mais *il faut* absolument ne nuire en
à vous volontairement.
Or, si l'un de ces *griefs*
pour lesquels la mort
fut prononcée-contre eux
est non-commis
par ceux-ci (Eschine et Philocrate),
faites-mourir moi à l'instant.
Examinez, en effet.
« Considérant, dit *la sentence,*
que ces *hommes* ont rempli-leur-
contrairement aux lettres [mission
et au décret, »

ἔστι τῶν ἐγκλημάτων τὸ πρῶτον. Οὗτοι δὲ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην; οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; Οὐ τὸ μὲν ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν, τοὺς ἐν ταῖς πόλεσιν; οὗτοι δέ, οὓς ὁ Φίλιππος αὐτοῖς προσέπεμψε, τούτους ὥρκισαν; Οὐ τὸ μὲν ψήφισμα οὐδαμοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ; οὗτοι δ' οὐδὲν ἐπαύσαντο ἰδίᾳ χρηματίζοντες; «Καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ ἀπαγγέλλοντες.» Οὗτοι δέ γε καὶ ἐν τῷ δήμῳ. Καὶ ὑπὸ τοῦ (τοῦτο γάρ ἐστι τὸ λαμπρόν); ὑπ' αὐτῶν τῶν πραγμάτων. Οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα δήπου γέγονε τἀναντία. «Οὐδ' ἐπιστέλλοντες, φησί, τἀληθῆ.» Οὐκοῦν οὐδ' οὗτοι. «Καὶ καταψευδόμενοι τῶν

tions. Premier grief. Les instructions! ceux-ci ne les ont-ils pas violées? Le décret n'ordonne-t-il pas que la paix s'étende aux Athéniens et à leurs alliés? et n'en ont-ils pas exclu la Phocide? Qu'on recevra, dans chaque ville, le serment des chefs? et ne se sont-ils pas contentés de la parole de ceux que leur envoyait Philippe? Que toute conférence particulière avec le prince est interdite? et ont-ils cessé un instant leurs négociations privées? — *Attendu que plusieurs d'entre eux ont été convaincus d'avoir fait de faux rapports au Conseil.* Mais ceux-ci en ont osé faire devant le peuple; et comment sont-ils convaincus? par la preuve la plus éclatante, par les faits : car il est arrivé tout le contraire de ce qu'ils ont annoncé. — *Qu'ils ont écrit des impostures.* Ceux-ci n'en ont-ils pas écrit? — *Qu'ils ont trompé*

καὶ τοῦτο ἔστι τὸ πρῶτον	et cela est le premier
τῶν ἐγκλημάτων.	des griefs.
Οὗτοι δὲ	Mais ceux-ci
οὐ	n'*ont-ils* pas *rempli leur mission*
παρὰ τὰ γράμματα;	contrairement aux lettres?
οὐ τὸ μὲν ψήφισμα κελεύει	le décret n'ordonne-t-il point
τὴν εἰρήνην εἶναι Ἀθηναίοις	*que* la paix soit pour les Athéniens
καὶ τοῖς συμμάχοις Ἀθηναίων;	et les alliés des Athéniens?
οὗτοι δὲ ἀπέφηναν	et ceux-ci *n'*ont-ils *pas* déclaré
Φωκέας ἐκσπόνδους;	les Phocidiens exclus-du-traité?
Οὐ τὸ μὲν ψήφισμα	Le décret n'*ordonne-t-il* point
ὁρκοῦν τοὺς ἄρχοντας,	d'admettre-au-serment les chefs,
τοὺς ἐν ταῖς πόλεσιν;	dans les républiques?
οὗτοι δὲ ὥρκισαν	et ceux-ci *n'*ont-ils *pas* fait-jurer
τούτους οὓς ὁ Φίλιππος	ceux-là *seuls* que Philippe
προσέπεμψεν αὐτοῖς;	envoya près d'eux?
Οὐ τὸ μὲν ψήφισμα	Le décret n'*ordonne-t-il* point
ἐντυγχάνειν	de *ne* se trouver
οὐδαμοῦ μόνους Φιλίππῳ;	nulle part seuls avec Philippe?
οὗτοι δὲ ἐπαύσαντο οὐδὲν	et ceux-ci cessèrent-ils en rien
χρηματίζοντες	traitant (de traiter)
ἰδίᾳ;	en particulier *avec ce prince*?
« Καί τινες αὐτῶν	« *Considérant* aussi *que* quelques-
ἠλέγχθησαν	ont été convaincus [uns d'eux
ἀπαγγέλλοντες	rapportant (de rapporter)
οὐ τὰ ἀληθῆ	des choses non véritables
ἐν τῇ βουλῇ. »	dans le Conseil. »
Οὗτοι δέ γε	Mais ceux-ci même [ple.
καὶ ἐν τῷ δήμῳ.	*en ont rapporté* aussi devant le peu-
Καὶ ὑπὸ τοῦ	Et par quoi *en sont-ils convaincus*
(τοῦτο γάρ ἐστι τὸ λαμπρόν);	(car ceci est le *point* éclatant)?
ὑπὸ τῶν πραγμάτων αὐτῶν.	par les événements eux-mêmes.
Πάντα γὰρ δήπου γέγονε	Car toutes choses certainement sont
τὰ ἐναντία οἷς	contraires à *celles* que [arrivées
οὗτοι ἀπήγγειλαν.	ces *gens*-ci déclarèrent.
« Οὐδὲ ἐπιστέλλοντες	« Et n'écrivant (de ne pas écrire)
τὰ ἀληθῆ, »	la vérité, »
φησί.	dit *encore la sentence.*
Οὐκοῦν οὐδὲ οὗτοι.	Donc, ni ceux-ci *non plus.*
« Καὶ καταψευδόμενοι	« Et mentant (d'avoir menti)

συμμάχων, καὶ δῶρα λαμβάνοντες.» Ἀντὶ μὲν τοίνυν τοῦ καταψεύδεσθαι, παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δήπου τοῦτο τοῦ καταψεύσασθαι δεινότερον. Ἀλλὰ μήν, ὑπέρ γε τοῦ δῶρα εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν τὸ λοιπὸν ἂν ἦν· ἐπειδὴ δ' ὁμολογοῦσιν, ἀπάγειν δήπου προςῆκε. Τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι; τούτων οὕτως ἐχόντων, ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καί τινες αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου, καὶ τὸν ἐκ Πειραιῶς Ἐπικράτην, ἐκπεσεῖν καὶ κολασθῆναι; καὶ πάλιν πρῴην Θρασύβουλον, ἐκείνου τοῦ Θρασυβούλου, τοῦ δημοτικοῦ, υἱόν, καὶ τοῦ ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι, καὶ τὸν ἀφ' Ἁρμοδίου[1], καὶ τῶν τὰ μέγιστα ἀγαθὰ εἰργασμένων ὑμᾶς, οὓς νόμῳ, διὰ τὰς εὐεργεσίας, ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς, ἐπὶ ταῖς

nos alliés, et reçu des présents. Au mot *trompé* substituez *exterminé :* attentat, certes, bien plus sanglant! Pour les présents, s'ils niaient en avoir reçu, resterait à les en convaincre : mais ils l'avouent! Envoyez-les donc au supplice. Eh quoi, Athéniens! vous, les fils de ceux mêmes qui ont rendu cette sentence, vous, dont quelques-uns ont siégé près d'eux, vous aurez souffert qu'un des généreux auteurs de la restauration populaire, Épicrate, fût puni, fût déchu de ses droits; que, récemment encore, une amende de dix talents fût imposée à Thrasybule, fils du célèbre démocrate de ce nom, qui a ramené le peuple de Phylé, et à l'un des descendants d'Harmodios, de l'un de ces bienfaiteurs suprêmes, qu'une loi, reconnaissante pour leurs antiques services, admet à partager vos libations dans tous les

τῶν συμμάχων,	aux alliés, [sents.»
καὶ λαμβάνοντες δῶρα. »	et recevant (d'avoir reçu) des pré-
Ἀντὶ μὲν τοίνυν	Or, au lieu de
τοῦ καταψεύδεσθαι,	mentir (avoir menti),
ἀπολωλεκότες	*mettez* ayant (avoir) détruit
παντελῶς·	complétement :
τοῦτο δὲ πολλῷ δεινότερον δήπου	et ceci est beaucoup plus criminel
τοῦ καταψεύσασθαι.	que d'avoir menti. [certes
Ἀλλὰ μήν, ὑπέρ γε τοῦ εἰληφέναι	D'ailleurs, quant à avoir reçu
δῶρα,	des présents,
εἰ μὲν ἠρνοῦντο,	s'ils *le* niaient,
τὸ λοιπὸν ἂν ἦν ἐξελέγχειν·	resterait *à les en* convaincre :
ἐπειδὴ δὲ ὁμολογοῦσι,	mais, puisqu'ils *l'*avouent,
προςῆκε δήπου	il conviendrait certes
ἀπάγειν.	de *les* mener *au supplice.*
Τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι;	Quoi donc, ô hommes Athéniens,
τούτων ἐχόντων οὕτως,	cela étant ainsi,
ὑμεῖς ὄντες	vous, qui êtes
ἐκείνων τῶν ἀνδρῶν,	*les fils* de ces hommes (de ces juges),
οἱ δὲ καί τινες αὐτῶν	et même quelques-uns d'eux
ἔτι ζῶντες,	encore vivants,
ὑπομενεῖτε	endurerez-vous
Ἐπικράτην μέν,	*que*, d'une-part, Épicrate,
τὸν εὐεργέτην τοῦ δήμου,	bienfaiteur du peuple,
καὶ τὸν ἐκ Πειραιῶς,	l'un *des auteurs du retour* du Pirée,
ἐκπεσεῖν καὶ κολασθῆναι;	ait été déchu et ait été puni ;
καὶ πάλιν πρῴην	et *qu'*encore nouvellement
Θρασύβουλον,	Thrasybule,
υἱὸν ἐκείνου τοῦ Θρασυβούλου,	fils du célèbre Thrasybule
τοῦ δημοτικοῦ,	le démocrate,
καὶ τοῦ καταγαγόντος τὸν δῆμον	qui ramena le peuple
ἀπὸ Φυλῆς,	de Phylé,
ὠφληκέναι	ait dû (été condamné à payer)
δέκα τάλαντα,	dix talents,
καὶ τὸν ἀπὸ Ἁρμοδίου,	et *que* le *descendant* d'Harmodius,
καὶ τῶν εἰργασμένων ὑμᾶς	d'un de ceux qui firent à vous
τὰ μέγιστα ἀγαθά,	les plus grands biens,
οὓς νόμῳ,	*gens* que, par une loi,
διὰ τὰς εὐεργεσίας	à cause des bons-services
ἃς ὑπῆρξαν εἰς ὑμᾶς,	qu'ils rendirent à vous,

θυσίαις, σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε, καὶ ᾄδετε καὶ τιμᾶτε ἐξίσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας τὴν ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην, μήτ' ἔλεον, μήτε παιδία κλᾴοντα ὁμώνυμα τῶν εὐεργετῶν, μήτ' ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι· τὸν δὲ Ἀτρομήτου, τοῦ γραμματιστοῦ, καὶ Γλαυκοθέας, τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια[1], τοῦτον ὑμεῖς λαβόντες ἀφήσετε, τὸν τῶν τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου; Ποῖος γὰρ ἵππος; ποία τριήρης; ποία στρατεία; τίς χορός; τίς λειτουργία; τίς εἰςφορά; τίς εὔνοια[2]; ποῖος κίνδυνος; τί τῶν ἁπάντων, ἐν

sacrifices et dans tous les temples, que vous chantez, que vous révérez à l'égal des héros et des dieux; vous aurez vu tous ces citoyens subir des peines légales; indulgence, pitié, larmes de petits enfants dont les noms rappelaient tant de dévouement, rien n'aura pu les secourir : et le fils d'un Atromète, d'un maître d'école, et d'une Glaucothée, d'une meneuse de bacchantes, ignoble sacerdoce qui a été puni de mort dans une autre, un homme qui est dans vos mains, vous le lâcherez, quand il est d'un sang aussi vil, quand il n'a rien fait pour l'État, ni lui, ni son père, ni aucun de sa race! Où sont, en effet, leurs dons en chevaux, en trirèmes? Quelles furent leurs campagnes, leurs chorégies, leurs charges publiques? Montrez-nous leurs contributions, leurs sacrifices volontaires, leurs périlleux travaux? De tant de services, en ont-ils jamais offert un seul à la patrie?

πεποίησθε κοινωνοὺς	vous avez faits participants
σπονδῶν καὶ κρατήρων	des libations et des coupes
ἐν ἅπασι τοῖς ἱεροῖς,	dans tous les temples,
ἐπὶ ταῖς θυσίαις,	pendant les immolations,
καὶ ᾄδετε καὶ τιμᾶτε	et *que* vous chantez et honorez
ἐξίσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς,	à l'égal des héros et des dieux,
τούτους μὲν πάντας ὑπεσχηκέναι	*que* tous ces *gens*-là aient subi
τὴν δίκην ἐκ τῶν νόμων,	la peine d'après les lois,
καὶ μήτε συγγνώμην, μήτε ἔλεον,	et *que* ni indulgence, ni pitié,
μήτε παιδία	ni petits-enfants,
ὁμώνυμα	portant-le-même-nom
τῶν εὐεργετῶν	*que* vos bienfaiteurs,
κλᾳόντα,	pleurants,
μήτε μηδὲν ἄλλο	ni aucune autre considération
ὠφεληκέναι αὐτούς·	*n'*ait servi eux;
ὑμεῖς δὲ	*que,* d'autre-part, vous,
λαβόντες τοῦτον,	ayant pris celui-ci,
τὸν Ἀτρομήτου,	*fils* d'Atromète,
τοῦ γραμματιστοῦ,	le maître d'école,
καὶ Γλαυκοθέας, τῆς συναγούσης	et de Glaucothée, qui menait
τοὺς θιάσους,	les troupes-de-bacchantes,
ἐπὶ οἷς	*faits* pour lesquels
ἑτέρα ἱέρεια τέθνηκεν,	une autre prêtresse fut mise-à-mort,
ἀφήσετε,	vous *l'*absolviez,
τὸν τῶν τοιούτων,	lui, *fils* de tels *parents*,
τὸν χρήσιμον τῇ πόλει	utile à la République
οὐδὲ κατὰ ἕν,	pas même en une seule chose,
οὐκ αὐτόν, οὐ πατέρα,	ni lui, ni *son* père,
οὐκ οὐδένα ἄλλον τῶν τούτου;	ni aucun autre des *parents* de lui?
Ποῖος γὰρ ἵππος;	Car quel cheval *fut donné par eux?*
ποία τριήρης;	quelle trirème *fut équipée?*
ποία στρατεία;	quelle expédition-militaire *fut faite?*
τίς χορός;	quel chœur *fut défrayé?*
τίς λειτουργία;	quelle charge-onéreuse *fut remplie?*
τίς εἰσφορά;	quelle contribution?
τίς εὔνοια;	quel don-volontaire?
ποῖος κίνδυνος;	quel danger *fut affronté par eux?*
τί τῶν ἁπάντων	lequel de tous *les services*
γέγονε τῇ πόλει	fut *rendu* à l'État
παρὰ τούτων	par eux

παντὶ τῷ χρόνῳ γέγονε παρὰ τούτων τῇ πόλει; Καίτοι, κἂν εἰ ταῦτα πάντα ὑπῆρχεν, ἐκεῖνο δὲ μὴ προςῆν, τὸ δικαίως καὶ προῖκα πεπρεσβευκέναι, ἀπολωλέναι δήπου προςῆκεν αὐτόν. Εἰ δὲ μήτε ταῦτα, μήτ' ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ ἀναμνησθήσεσθε, ὧν οὗτος κατηγορῶν ἔλεγε Τιμάρχου[1]; ὡς οὐδέν ἐστιν ὄφελος πόλεως, ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει· οὐδὲ πολιτείας, ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσιν· οὐδ' ἐλεεῖν ὑμᾶς οὔτε τὴν μητέρα δεῖ τὴν Τιμάρχου, γραῦν γυναῖκα, οὔτε τὰ παιδία, οὔτ' ἄλλον οὐδένα· ἀλλ' ἐκεῖνο ὁρᾷν, ὅτι, εἰ προήσεσθε τὰ τῶν νόμων, καὶ τὰ τῆς πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας. Ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτίμωται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, τούτῳ δ' ἀθῴῳ δώσετε εἶναι; διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς

Eh! quand ils les auraient rendus tous, l'iniquité, la vénalité de l'ambassade d'Eschine mériteraient encore la mort. Mais, s'il fut inutile citoyen et député perfide, ne le punirez-vous pas? Ne vous rappellerez-vous point ces paroles de l'accusateur de Timarque? « N'attendons rien d'un État sans énergie contre les coupables, rien d'un gouvernement où les sollicitations et la pitié l'emportent sur les lois. Ne vous laissez attendrir ni par le grand âge de la mère de Timarque, ni par ses jeunes enfants, ni par personne; ne voyez qu'une chose, c'est que, si vous délaissez les lois et le gouvernement, vous ne trouverez personne pour s'attendrir sur vous. » Un infortuné a donc été frappé de mort civile pour avoir connu les crimes d'Eschine, et vous

ἐν παντὶ τῷ χρόνῳ;	en tout temps?
Καίτοι, καὶ ἂν εἰ πάντα ταῦτα	Cependant, même si tous ces *services*
ὑπῆρχεν,	subsistaient,
ἐκεῖνο δὲ μὴ προςῆν,	et *que* ceci ne s'*y* joignît point,
τὸ πεπρεσβευκέναι	*à savoir* s'être acquitté-de-l'ambas-
δικαίως	avec-justice [sade
καὶ προῖκα,	et avec-désintéressement,
προςῆκε δήπου	il conviendrait certes
αὐτὸν ἀπολωλέναι.	*qu'*il pérît.
Εἰ δὲ	Mais si *chez lui n'existait*
μήτε ταῦτα,	ni ceci (le dévouement du citoyen),
μήτε ἐκεῖνα,	ni cela (l'intégrité du député),
οὐ τιμωρήσεσθε;	ne punirez-vous pas *Eschine?*
οὐκ ἀναμνησθήσεσθε	ne vous rappellerez-vous point
ὧν οὗτος ἔλεγε	*les paroles* que cet *homme* disait
κατηγορῶν Τιμάρχου;	en accusant Timarque?
ὡς οὐδὲν ὄφελος	*il disait* qu'aucun appui
ἐστὶ πόλεως,	n'est à une ville
ἥτις μὴ ἔχει νεῦρα	qui n'a point de nerf
ἐπὶ τοὺς ἀδικοῦντας·	contre ceux qui prévariquent;
οὐδὲ πολιτείας ἐν ᾗ	ni à un gouvernement dans lequel
συγγνώμη καὶ παραγγελία	indulgence et intercession
ἰσχύουσι μεῖζον τῶν νόμων·	peuvent plus que les lois;
οὐδὲ δεῖ ὑμᾶς ἐλεεῖν	*qu'*il ne faut pas *que* vous ayez-pitié
οὔτε τὴν μητέρα τὴν Τιμάρχου,	ni de la mère de Timarque,
γραῦν γυναῖκα,	vieille femme,
οὔτε τὰ παιδία,	ni de ses jeunes-enfants,
οὔτε οὐδένα ἄλλον·	ni d'aucune autre *personne;*
ἀλλὰ ὁρᾶν ἐκεῖνο, ὅτι	mais *qu'il faut* voir ceci, que
οὐχ εὑρήσετε	vous ne trouverez pas
τοὺς ἐλεήσοντας	*gens* disposés-à-s'apitoyer
ὑμᾶς αὐτούς,	sur vous-mêmes,
εἰ προήσεσθε	si vous laissez-à-l'abandon
τὰ τῶν νόμων,	les *intérêts* des lois,
καὶ τὰ τῆς πολιτείας.	et les *intérêts* du gouvernement.
Ἀλλὰ ὁ μὲν ἄνθρωπος ταλαίπωρος	Eh bien! un homme malheureux
ἠτίμωται,	a été dégradé-civilement,
ὅτι εἶδε	parce qu'il a vu
τοῦτον ἀδικοῦντα,	celui-ci prévariquant,
δώσετε δὲ	*et* vous accorderez cependant

ἐξαμαρτανόντων τηλικαύτην ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν· παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦθ' ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν, τοὺς ὀμωμοκότας καὶ δικάζοντας; « Νὴ Δί', οἱ νέοι γὰρ ὑμῖν δι' ἐκεῖνον τὸν ἀγῶνα ἔσονται βελτίους.» Οὐκοῦν καὶ διὰ τοῦτόν γε οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. Προσήκει δὲ καὶ τούτων φροντίζειν.

Ἵνα τοίνυν εἰδῆθ', ὅτι καὶ τοῦτον ἀπώλεσε, τὸν Τίμαρχον, οὐ μὰ Δί' οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως ἔσονται σώφρονες, προορῶν (εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ πόλει, ὥστε Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους)· ἀλλ' ὅτι βουλεύων ἔγρα-

laisserez impuni le criminel! Et pourquoi? Si Eschine crut que des citoyens coupables envers eux seuls méritaient une telle rigueur, par quelle peine ferez-vous expier des torts énormes envers la république, vous qui jugez sur la foi de votre serment? « Je le jure, disait-il encore, la condamnation de Timarque réformera nos jeunes citoyens. » Eh bien! la sienne réformera nos hommes politiques, qui jettent la patrie dans les derniers périls : or, ceux-là aussi doivent éveiller votre sollicitude.

Les mœurs de vos enfants! non, par Jupiter! tel n'a pas été son but lorsqu'il a perdu Timarque. Leurs mœurs, ô Athéniens, se soutiennent d'elles-mêmes; et puisse la République ne pas devenir assez malheureuse pour que sa jeunesse ait besoin de réformateurs tels qu'un Aphobétos et un Eschine! Son motif, sachez-le bien, c'était le

τούτῳ εἶναι ἀθῴῳ;	à celui-ci d'être impuni!
διὰ τί; εἰ γὰρ Αἰσχίνης	pourquoi? car si Eschine
ἠξίωσε	a cru-convenable [grave
λαβεῖν δίκην τηλικαύτην	de prendre (faire subir) peine si-
παρὰ τῶν ἐξαμαρτανόντων	à des *gens* qui étaient-coupables
εἰς ἑαυτούς,	envers eux-mêmes,
πηλίκην προσήκει	quelle *peine* convient-il
ὑμᾶς λαβεῖν	*que* vous fassiez-subir
παρὰ τῶν ἡμαρτηκότων	à ceux qui ont prévariqué
τηλικαῦτα	si-gravement
εἰς τὰ τῆς πόλεως,	contre les *intérêts* de la cité,
ὧν οὗτος ἐξελέγχεται	*coupables* dont celui-ci est convaincu
ὢν εἷς,	étant (d'être) un,
τοὺς ὀμωμοκότας καὶ δικάζοντας;	*vous, dis-je,* ayant juré et jugeant?
« Νὴ Δία,	« Par Jupiter, *disait-il encore,*
οἱ γὰρ νέοι ὑμῖν	les jeunes gens chez vous
ἔσονται βελτίους	seront meilleurs
διὰ ἐκεῖνον τὸν ἀγῶνα. »	par ce procès-ci. »
Οὐκοῦν καὶ οἱ πολιτευόμενοι	Donc, aussi les hommes-politiques
διὰ τοῦτόν γε,	*seront meilleurs* par ce *procès*-ci,
δι' ὧν	*eux* par qui
τὰ μέγιστα κινδυνεύεται	les plus grands risques-sont-courus
τῇ πόλει.	dans la République.
Προσήκει δὲ	Or, il convient
φροντίζειν καὶ τούτων.	de songer aussi à ceux-là.
Ἵνα τοίνυν εἰδῆτε	Or, afin que vous sachiez
ὅτι καὶ ἀπώλεσε	qu'il a perdu
τοῦτον τὸν Τίμαρχον,	ce Timarque,
οὐ μὰ Δία οὐχὶ προορῶν	non, par Jupiter, en prévoyant (par
τῶν ὑμετέρων παίδων,	pour vos enfants, [prévoyance)
ὅπως ἔσονται σώφρονες	afin qu'ils soient chastes
(εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι,	(car ils sont, ô hommes Athéniens!
σώφρονες καὶ νῦν·	chastes même maintenant;
μὴ γὰρ γένοιτο κακῶς	et puisse-t-il ne point arriver mal
τῇ πόλει	à la République
οὕτως ὥστε τοὺς νεωτέρους	au point que les jeunes gens
δεηθῆναι	avoir (aient) besoin
Ἀφοβήτου καὶ Αἰσχίνου	d'Aphobétos et d'Eschine
σωφρονιστῶν)·	*pour* moralistes);
ἀλλὰ ὅτι	mais *qu'il l'a perdu* parce que,

ψεν, ἄν τις ὡς Φίλιππον ὅπλα ἄγων ἁλῷ, ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν. Σημεῖον δέ· πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος; πολύν[1]. Οὐκοῦν τοῦτον ἦν Αἰσχίνης ἅπαντα ἐν τῇ πόλει, καὶ οὐδεπώποτε ἠγανάκτησεν, οὐδὲ δεινὸν ἡγήσατο εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν ἐλθών, ἑαυτὸν ἐμίσθωσε Φιλίππῳ. Λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ τοῦ Τιμάρχου. Λέγε.

ΨΗΦΙΣΜΑ.

Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας, μὴ ἄγειν ἐν τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι, ἀπόλωλε, καὶ ὕβρισται. Ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλα ἐκείνῳ παραδοὺς οὑτοσί, κατηγόρει, καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί! δυοῖν μὲν κηδεσταῖν παρεστηκότοιν, οὓς ἰδόντες

décret de mort proposé par Timarque dans le Conseil contre tout citoyen convaincu d'avoir fait passer à Philippe des armes et des agrès de vaisseaux. Je le prouve. Depuis combien de temps Timarque haranguait-il le peuple? depuis longtemps. Or, dans tout cet intervalle, Eschine a pris part à l'administration, et ne s'est jamais indigné de voir un pareil homme à la tribune, jusqu'à son retour de Macédoine, jusqu'à son engagement mercenaire avec Philippe. — Lis le texte du décret de Timarque.

DÉCRET.

Celui donc qui, pour votre salut, a proposé qu'il fût défendu, sous peine capitale, d'envoyer, en temps de guerre, des armes à Philippe, est flétri de mort civile; et celui qui a livré à Philippe les armes de vos alliés, c'est lui qui accusait et qui dissertait sur la prostitution, ô terre! ô ciel! assisté de ce couple de beaux-frères qui ne peut se

βουλεύων	faisant-partie-du-Conseil,
ἔγραψε θάνατον	il proposa-par-écrit *que* la mort
εἶναι τὴν ζημίαν,	fût la punition,
ἄν τις ἁλῷ	si l'on était convaincu [lippe
ἄγων ὡς Φίλιππον	conduisant (de conduire) vers Phi-
ὅπλα ἢ σκεύη τριηρικά.	armes ou agrès de vaisseaux.
Σημεῖον δέ·	La preuve, *la voici :*
πόσον γὰρ χρόνον	*depuis* combien de temps
Τίμαρχος ἐδημηγόρει;	Timarque haranguait-il-le-peuple?
πολύν.	*depuis* un long *temps.*
Οὐκοῦν τοῦτον ἅπαντα	Or, tout ce *temps,*
Αἰσχίνης ἦν ἐν τῇ πόλει,	Eschine était dans la cité,
καὶ οὐδεπώποτε ἠγανάκτησεν,	et jamais il ne s'indigna,
οὐδὲ ἡγήσατο	ni ne crut
τὸ πρᾶγμα εἶναι δεινόν,	*que* la chose fût étrange
εἰ ὁ τοιοῦτος λέγει,	si un tel homme propose-une-loi,
ἕως ἐλθὼν εἰς Μακεδονίαν,	jusqu'à-ce-que, allé en Macédoine,
ἐμίσθωσεν ἑαυτὸν Φιλίππῳ.	il se fût vendu à Philippe.
Λέγε δή μοι λαβὼν	Lis-moi, *l'*ayant pris,
τὸ ψήφισμα αὐτὸ	le décret même
τὸ τοῦ Τιμάρχου. Λέγε.	de Timarque. Lis.
ΨΗΦΙΣΜΑ.	**DÉCRET.**
Ὁ μὲν τοίνυν γράψας	Donc, d'une part, celui qui écrivit
ὑπὲρ ὑμῶν,	pour vous, [*dans un décret*
μὴ ἄγειν ὅπλα	de ne point amener d'armes
πρὸς Φίλιππον	à Philippe
ἐν τῷ πολέμῳ,	pendant la guerre,
εἰ δὲ μή,	sinon (et, si quelqu'un en amenait)
ζημιοῦσθαι θανάτῳ,	d'être puni de mort,
ἀπόλωλε καὶ ὕβρισται.	*celui-là* a péri et a été deshonoré.
Ὁ δὲ παραδοὺς	D'autre part, ayant livré
ἐκείνῳ	à ce *prince*
καὶ τὰ ὅπλα	même les armes
ὑμετέρων συμμάχων, οὑτοσί,	de vos alliés, *l'homme* que-voici,
κατηγόρει, καὶ ἔλεγε	accusait *le premier,* et parlait
περὶ πορνείας, ὦ γῆ καὶ θεοί!	sur la prostitution, ô terre et dieux !
δυοῖν μὲν κηδεσταῖν	*ses* deux beaux-frères
παρεστηκότοιν,	étant-présents,
οὓς ἰδόντες	lesquels voyant (à la vue desquels)

ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν εἰς Αἴγυπτον ἐμίσθωσε Χαβρίᾳ, καὶ τοῦ καταράτου Κηρυβίωνος[1], ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. Καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. Ἀλλὰ δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες ὅσοι οἱ περὶ πορνείας ἐῤῥύησαν λόγοι.

Καὶ μὴν εἰς ὅσην αἰσχύνην καὶ ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτων πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει, πάντα τὰ ἄλλα ἀφείς, ἃ πάντες ὑμεῖς ἴστε, ἐρῶ. Πρότερον μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' ὑμῖν ἐψήφισται, τοῦτ' ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δὲ δὴ περιερχόμεθ' ἡμεῖς, τί δέδοκται τοῖς ἄλλοις, σκοποῦντες, καὶ ὠτακουστοῦντες. Τί τὰ τῶν Ἀρκάδων; τί τὰ τῶν Ἀμφικτυόνων; ποῖ πάρεισι Φίλιππος; ζῇ,

montrer sans soulever la clameur publique, de l'infâme Nicias qui s'est vendu à Chabrias, en Égypte; de l'exécrable Cérybion qui fait, sans masque, la débauche des bacchanales! Que dis-je, Eschine avait devant les yeux son frère Aphobétos! C'est ce jour-là cependant que toutes ses paroles sur les libertins à gages se précipitaient en torrent!

Combien sa perversité, combien ses impostures tiennent encore notre république au-dessous de son rang! Passons, et arrêtons-nous sur ce que vous savez tous. Auparavant, ô Athéniens, tous les Hellènes étaient dans l'attente de vos décrets : aujourd'hui, c'est nous qui courons les nouvelles, c'est nous qui, toujours aux écoutes, épions les décisions des autres : « Que font les Arcadiens? Qu'ont ordonné les Amphictyons? Où va Philippe? Est-il en vie? est-il

ὑμεῖς ἂν ἀνακράγοιτε,
Νικίου τε τοῦ βδελυροῦ,
ὃς ἐμίσθωσεν ἑαυτὸν
Χαβρίᾳ
εἰς Αἴγυπτον,
καὶ τοῦ καταράτου Κηρυβίωνος,
ὃς κωμάζει ἄνευ τοῦ προσώπου
ἐν ταῖς πομπαῖς.
Καὶ τί ταῦτα;
ἀλλὰ
ὁρῶν τὸν ἀδελφὸν Ἀφόβητον.
Ἀλλὰ δῆτα
ἐκείνῃ τῇ ἡμέρᾳ
πάντες ὅσοι λόγοι
οἱ περὶ πορνείας
ἐῤῥύησαν
ἄνω ποταμῶν.
Καὶ μήν,
ἀφεὶς πάντα τὰ ἄλλα,
ἐρῶ ἃ πάντες ὑμεῖς ἴστε,
εἰς ὅσην αἰσχύνην καὶ ἀτιμίαν
ἡ πονηρία καὶ ψευδολογία
τούτων
ἔχει καταστήσασα
τὴν πόλιν ἡμῶν.
Πρότερον μὲν γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι,
πάντες οἱ ἄλλοι Ἕλληνες
ἐπετήρουν τοῦτο,
τί ἐψήφισται παρὰ ὑμῖν·
νῦν δὲ δὴ
ἡμεῖς περιερχόμεθα, σκοποῦντες
καὶ ὠτακουστοῦντες
τί δέδοκται τοῖς ἄλλοις.
Τί τὰ
τῶν Ἀρκάδων;
τί τὰ
τῶν Ἀμφικτυόνων;
ποῖ Φίλιππος πάρεισι;
ζῇ, ἢ τέθνηκεν;

vous pousseriez-des-clameurs,
savoir, et Nicias l'effronté,
qui s'est vendu lui-même
à Chabrias
pour l'accompagner en Égypte,
et l'exécrable Cérybion,
qui fait-la-débauche sans masque
dans les processions *des bacchana-*
Et pourquoi *parler de* cela? [*les.*
mais, *il parlait*
voyant *son* frère Aphobétos.
Néanmoins certes
en ce jour-là
tous *ses* nombreux discours
sur la prostitution
découlaient [ves.
comme du-haut-du-courant des fleu-
D'ailleurs,
laissant toutes les autres choses,
je dirai *ce* que tous vous savez,
à quelle-grande honte et infamie
la perversité et l'imposture
de ces *députés*
a abaissé
la République de nous.
Précédemment, en effet,
ô hommes Athéniens,
tous les autres Hellènes
attendaient ceci,
savoir, quoi a été décrété chez vous:
maintenant, au contraire,
nous allons-çà-et-là, guettant
et écoutant-de-toutes-nos-oreilles
ce qui a été résolu par les autres.
Que *sont* les *affaires*
des Arcadiens?
que *sont* les *affaires*
des Amphictyons?
où Philippe va-t-il?
vit-il ou est-il mort?

ἢ τέθνηκεν; Οὐ ταῦτα ποιοῦμεν; ἐγὼ δὲ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ, ἀλλ', εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν, καὶ τιμωρεῖσθαι. Οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' ὑμῖν ὑγιαίνῃ, ἀλλ', εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τινες τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου, νῦν ἀναβήσονται· ταῦτα φοβεῖ με.

